AKROPOLIS WORLD NEWS

www.akwn.net

J. Coderch

Seventeenth Year

(August 2018 - June 2019)

During this year I made some combinations: sometimes the blocks offer only one piece of news and sometimes two or three, and when they offer two or three sometimes I introduce each one of them with a subtitle and sometimes I don’t. Don’t ask me why.

Ἡ Σίνα νῦν τὸ ἐναντίον βούλεται· πλείονας παῖδας

27 Αὐγούστου 2018

Ἡ Σίνα βούλεται νῦν τὴν δημογραφικὴν πολιτικὴν μεταβαλεῖν, τοῦτο δὲ ἐν νῷ ἔχοντες πείθειν πειρῶσιν οἱ ἄρχοντες τοὺς νεανίας πλείους παῖδας ἔχειν. εἰ ταύτην τὴν πολιτικήν, τοῦτο τὸ ἄγγελμα, ἐν ἄλλῃ τινὶ χώρᾳ ἀκούοιμεν, οὐδαμῶς θαυμάζοιμεν ἄν, ἀλλὰ τοῦτο περὶ τῆς Σίνας ἀκούσαντες θαυμάζομεν· διὰ τί; διότι ἔτι καὶ νῦν μεμνήμεθα τῆς οὕτω καλουμένης "Πολιτικῆς τοῦ Ἑνὸς Παιδὸς" (ΠΕΠ) ᾗ οἱ ταύτης τῆς χώρας ἄρχοντες ἐπειρῶντο τὴν τῶν ἐνοικούντων ἄμετρον αὔξησιν κατέχειν.

ἤδη ἴσμεν ὅ τι τοῖς ἔτεσι 1950-60οις ἐγένετο· πεῖναν μὲν μεγίστην ἔπαθεν ἡ Σίνα, ὁ γὰρ τῶν ἐνοικούντων ἀριθμὸς θᾶττον ἢ τὸ τοῦ σίτου γέννημα ηὔξανεν, τούτων δὲ οὕτως ἐχόντων ἔδοξε τοῖς ἄρχουσι τῷ 1979ῳ ἔτει ταύτην τὴν αὔξησιν τῇ ΠΕΠ μειοῦν. τοῦτο μὲν δὴ ἐκτήσαντο, ἡ δὲ τῆς χώρας οἰκονομία καὶ ἡ τῶν πολιτῶν δίαιτα πολλῷ ἐβελτιώθησαν (ὃ οὐδαμῶς ἐγένετο ἂν εἰ τοῦτον τὸν νόμον μὴ κατέθεσαν). ὅμως δὲ νῦν τὸ ἐναντίον πρόβλημα ἔχουσιν, ὁ μὲν γὰρ δῆμος γηράσκει, οὐδὲ τοσοῦτοι παῖδες τίκτονται ὅσοι τὰς τῶν γηρασκόντων συντάξεις τίνειν δύνωνται.

τούτου δὲ ἕνεκα οἱ ἄρχοντες ἐποτρύνουσι νῦν τοὺς νέους πολίτας γαμεῖσθαί τε καὶ παῖδας τίκτειν... ἀλλὰ οἱ νέοι (κόραι τε καὶ νεανίαι ἐξ ἴσου) οὐ βούλονται· πολλοὶ μὲν τῶν ἀγάμων γαμεῖσθαι οὐ βούλονται, οἵτινες δὲ ἤδη σύζυγοί εἰσιν οὐ βούλονται εἴτε παῖδας εἴτε, ἐὰν ἤδη ἔχωσιν, πλείους παῖδας ἔχειν. αἱ δὲ αἰτίαι τίνες εἰσίν; μᾶλλον ἧττον τὸ αὐτὸ λέγουσι καὶ οἱ ἑσπέριοι νέοι· δεῖ μὲν πλεῖον ἐργάζεσθαι, βούλονται δὲ ἐλεύθεροι μένειν... κτλ. καὶ δὴ καὶ οἱ ἤδη παῖδας ἔχοντες βούλονται μὲν αὐτοὺς (τὸν ἕνα ἢ τοὺς δύο οὓς ἤδη ἔχουσιν) εἰς τὰ βέλτιστα (καὶ τιμιώτατα δὴ) διδασκαλεῖα πέμπειν ἵνα αμείνους τῶν ἄλλων γίγνωνται, προαιροῦνται δὲ πάντα τὰ χρήματα εἰς ἕνα ἢ δύο ἀθροίζειν μᾶλλον ἢ πολλοῖς διανέμειν.

νῦν ἔξεστιν ἐπὶ τῶν πινάκων οὗ ἡ ἀρχὴ ἀγγέλματα τίθησιν ἔνια νέα ἰδεῖν ἐποτρύνοντα τοὺς νέους πολίτας πλείονας παῖδας τίκτειν... παρὰ ἄλλοις ἀγγέλμασι ἤδη ἀρχαίοις οὖσι καὶ τὸ ἐναντίον (ΠΕΠ) ἐποτρύνουσιν.

Ἐξαίρετος κατάστασις ἐν τῇ Λιβύῃ

3 Σεπτεμβρίου 2018

Ἡ τῆς Λιβύης ἀρχή, τοῦ ΗΕΟ ὁμολογοῦντος, ἤγγειλε νεωστὶ τὴν ἐξαίρετον κατάστασιν ἐν πάσῃ τῇ πρωτευούσῃ Τριπόλει. ἡ Λιβύη ἤδη πολὺν χρόνον οἰκεῖον πόλεμον πάσχει ὃς τῷ 2014ῳ ἔτει ἤρξατο, ἀλλὰ τὰ ἀντίπαλα στρατιωτικὰ οὕτω σφόδρα ἐμαχέσαντο ταύτην τὴν τελευταίαν ἑβδομάδα ὥστε ἀναγκάζειν τοὺς ἄρχοντας τὴν ἐξαίρετον κατάστασιν ἀγγελεῖν. καὶ δὴ καὶ ταῖς τελευταίαις ἡμέραις ἄλλα ἐγένετο ἃ τὴν ἐν τῇ πόλει κατάστασιν ἔτι χείρονα ἐποίησεν· πρῶτον μὲν ἄλλα μὲν στρατιωτικὰ ἀπὸ τῶν πόλεων Μισράτα καὶ Ζιντᾶν ἀφίκετο, ταύτῃ δὲ τῇ ἀφίξει ἡ μάχη κατὰ πᾶσαν τὴν πόλιν ἐσκεδάσθη· ἔπειτα δὲ τετρακόσιοι δεσμῶται ἐκ τοῦ δεσμωτηρίου ἐξέφυγον τῆς μάχης ἕνεκα, τῶν γὰρ τοῦ δεσμωτηρίου φυλάκων ἀπόντων (μαχομένων δὴ) ἐξῆν αὐτοῖς ῥᾳδίως τὰς θύρας καταβαλόντες ἐξιέναι.

ἡ μάχη τῇ Κυριακῇ ἐγγὺς τοῦ ἀερολιμένος ἤρξατο, τοῦ τόπου ὃν πάντες οἱ μαχόμενοι μάλιστα λαβεῖν πειρῶσιν. τῇ Παρασκευῇ ἡ μάχη οὕτω βιαία ἐγένετο ὥστε ἔδει τὸν ἀερολιμένα κατακλείειν.

ἤδη πεντήκοντα ἄνθρωποι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐν τῇ πόλει μένουσιν οὔτε ὕδωρ οὔτε ἠλεκτρικὴν δύναμιν ἔχοντες, ἄλλοθί τε καὶ ἐν τῷ οὕτω καλουμένῳ "Τριγώνῳ Σουζούκι" ἐγγὺς τοῦ στρατοπέδου Ἂλ Ἰαρμοῦκ κειμένῳ. πολλοὶ πολῖται τὰς οἰκίας καταλιπόντες εἴτε ἐν τῇ

πόλει μένειν βουλόμενοι εἰς διδασκαλεῖά τε καὶ νοσοκομεῖα κατέφυγον εἴτε πρὸς ἄλλας κώμας ἔξω τῆς πόλεως ἀπῆλθον.

Παραγωγὴ ἄνευ τῶν μεγίστων πυραυλῶν

10 Σεπτεμβρίου 2018

Εἰ τῇ εἰρωνίᾳ χρῆσθαι ἔξεστιν, λέγωμεν ὅτι βορειοκορεατική τις παραγωγὴ ἄνευ τῶν μεγίστων πυραυλῶν καὶ ἄνευ μακρῶν λόγων (οἳ τὴν τοῦ κόσμου καθαίρεσιν καὶ ὠκεανοὺς πυρὸς μεστοὺς καὶ τὰς δέκα τῆς Ἁγίας Γραφῆς πληγὰς ὑπισχνοῦνται, πῶς γὰρ οὔ;) τὸ αὐτό ἐστι καὶ Κυριακὴ ἡμέρα ἄνευ ἡλίου, τοῦτο δέ ἐστιν ὃ χθὲς ἐν τῇ πόλει Πιογγιὰγγ ἐγένετο, δέον γὰρ τὰ ἑβδομήκοντα ἔτη ἐπαινεῖν ἐξ οὗ ἡ χώρα τὸ φῶς πρῶτον εἶδεν πάντες ἤλπιζον τοιαῦτα πύραυλα ἰδεῖν καὶ τοιούτων λόγων ἀκούειν, ἀλλά... οἱ πλεῖστοι τῶν 50.000 θεατῶν οἳ εἰς τὴν ἀγορὰν Κῖμ Ἶλ-σοῦγγ συνῆλθον τῶν ἐλπίδων διήμαρτον.

πρῶτον μὲν 12.000 στρατιῶται παρήγαγον, ἔπειτα δὲ τὰ τεθωρακισμένα ἅρματα, ἴσως οὐ τοσαῦτα ὅσα τοῖς προτεραίοις ἔτεσιν ἰδεῖν ἐξῆν, ἐν δὲ τούτῳ τῷ τῆς παραγωγῆς μέρει οἵτινες ἂν τὰ παραδεδομένα ἔθη φιλῶσιν ἐχάρησαν, ἔνια γὰρ ἅρματα γεγραμμένας φράσεις ἐδείκνυ ἐποτρυνούσας τὰς ΗΑΠ διαφθείρειν· τέλος δὲ τὰ πυρηνικὰ πύραυλα ἀφίκετο, κατ' ἐνιαυτὸν δὲ τὸ αὐτὸ γίγνεται· πρῶτον μὲν τὰ μικρὰ πύραυλα ἀφικνεῖται, ἔπειτα δὲ τὰ μέσα, τέλος δὲ τὰ μεγάλα ἃ λόγῳ μὲν εἰς τὰς ΗΑΠ ἀφίκεσθαι δύναται, ἔργῳ δὲ οὐκ ἴσμεν· ὅμως δὲ τοιαῦτα τὰ τελευταῖα πύραυλα τούτῳ τῷ καιρῷ οὐκ ἀφίκετο.

ἡ αἰτία πᾶσι δήλη ἐστίν· ὁ ἄρχων, τῷ τῶν ΗΑΠ προέδρῳ Δ. Τρᾶμπ ἐν τῇ Σιγγαπόρῃ τῷ μηνὶ Ἰουνίῳ συνελθὼν καὶ βουλόμενος νῦν εὔνοιαν δεικνύναι, πειρᾶται μὲν τὴν διαλεκτικὴν ἐφορμὴν μειοῦν, προχθὲς δὲ τὴν τῶν ΗΑΠ καθαίρεσιν οὐκ ἤγγειλεν.

Αὖθις νευροφάρμακον ἐν τῇ πόλει Σαλίσβουρυ

17 Σεπτεμβρίου 2018

Αὖθις τὴν πόλιν Σαλίσβουρυ παρὰ τοῖς ἀγγέλμασιν ἔχομεν ἔν τε τῇ τηλεοράσει καὶ τῇ ῥαδιοφωνίᾳ· χθὲς γὰρ δύο ἄνθρωποι, γυνή τις καὶ ἀνήρ, ἐν ὀψοπωλίῳ τινὶ φαγόντες ἐξαίφνης κακῶς εἶχον καὶ ἀσθενούχημα ᾔτησαν. “τί δή;“ λέγοις ἄν, “πολλάκις τὸ αὐτὸ γίγνεται, πολλοὶ το αὐτὸ καθ' ἡμέραν ἐν τῇ οἰκουμένῃ πάσχουσι καὶ τοῦτο οὐδεὶς θαυμάζει.“ Ναί, ἀληθῆ λέγεις, ἀλλὰ... τοῦτο ἐγένετο ἐν τῷ αὐτῷ δήμῳ οὗ πρῶτον μὲν τῷ μηνὶ Μαρτίῳ ὁ Ῥωσσικὸς κατάσκοπος Σεργεῖ Σκρίπαλ καὶ ἡ θυγάτηρ αὐτοῦ Ἰουλία νευροφαρμάκῳ τινὶ "Novichok" καλουμένῳ ὀλίγου οὐκ ἀπέθανον, ἔπειτα δὲ τῷ μηνὶ Ἰουνίῳ ἐν κώμῃ τινὶ ἐγγὺς τῆς πόλεως Σαλίσβουρυ κειμένῃ ἄλλοι δύο ἄνθρωποι τῷ αὐτῷ νευροφαρμάκῳ ἐφαρμάχθησαν, ὡς τὸ νῦν ἀνήρ τις καὶ γυνή, ἡ δὲ γυνή, τετταράκοντα ἔτη γεγονυῖα, ἀπέθανεν.

νῦν δὲ οἱ φύλακες, φοβούμενοι μὴ ἔτι καὶ νῦν λείψανα τούτου τοῦ φαρμάκου μένοι, εὐθὺς τὰς περὶ τοῦ ὀψοπωλίου ὁδοὺς ἀποχωρίσαντες ἐπείρασαν λείψανα τούτου τοῦ φαρμάκου εὑρεῖν· καίπερ οὐδὲν εὑρόντες, ἔτι καὶ νῦν ζητοῦσι καὶ εἰς ταύτας τὰς ὁδοὺς εἰσιέναι οὐκ ἐάσουσιν ἕως ἂν εὖ εἰδῶσιν ὅτι οὐδὲν τοῦ φάρμάκου ἐκεῖ πάρεστιν.

περὶ τοῦ Σκρίπαλ καὶ τῆς θυγατρὸς αὐτοῦ Ἰουλίας ἴσμεν ἤδη ὅτι δύο ἄνθρωποι (οὓς ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἰδεῖν) ὑπὸ τοῦ Κρεμλίνου πεμφθέντες τὸ νευροφάρμακον ᾧ τὸν Σκρίπαλ ἀποκτείνειν ἐπείρασαν εἰς τὸ Ἡνωμένον Βασίλειον ἐν μικρῷ μύρου λαγύνῳ κρυφθὲν εἰσήνεγκον. οἱ Ῥωσσικοὶ ἄρχοντες ἀπέφησαν τούτους τοὺς δύο ἀνθρώπους ὑπὸ αὐτῶν πεμφθῆναι.

Περὶ τῆς Βενετίας

23 Σεπτεμβρίου 2018

Ἡ Βενετία πάντες γιγνώσκομεν ἥ τις ἐστίν· ἡ ἔνδοξος τῆς Ἰταλίας πόλις ἣ ὀχετοὺς ἀντὶ ὁδῶν ἔχει· πάντων τοῦτο ἰδεῖν βουλομένων, αὕτη ἡ πόλις τριάκοντα ἑκατομμύρια περιηγητῶν κατ' ἔτος δέχεται, ὃ αἴτιόν ἐστι πολλῶν προβλημάτων. οἱ μὲν περιηγηταὶ ὡς ἐπὶ τὸ πολὺ ὅ τι ἂν βούλωνται ποιοῦσιν, οἱ δὲ πολῖται περὶ τούτου ὀδύρονται, τέλος δὲ ἐνίοις τῶν νῦν ἐν τέλει δοκεῖ ταῦτα τὰ σχήματα παύειν καὶ τοὺς περιηγητὰς κολάζειν οἵτινες ἂν κατὰ τοὺς νόμους μὴ προσφέρωνται. τοῦτο μὲν ἐν τῇ Φλωρεντίᾳ ἤδη ἐποίησαν, ὀργισθέντες γὰρ τοῖς περιηγηταῖς οἳ ἐν ταῖς ὁδοῖς χαμαὶ καθήμενοι ἤσθιον ἤρξαντο ζημίας ἐπιθεῖναι, νῦν δὲ τὸ αὐτὸ ἐν τῇ Βενετίᾳ ἐν νῷ ἔχουσι οἱ Βένετοι ποιεῖν. ὁ τῆς πόλεως ἄρχων, ὁ Λυῖγι Βρουγνάρος, προέθηκε νεωστὶ νέον νόμον εἰσφέρειν καθ' ὃν ἀπαγορεύοιτο ἂν τὸ καθίζεσθαι εἴτε χαμαὶ εἴτε ἐπὶ τοῖς τῶν μνημείων τε καὶ τῶν ἱερῶν βαθμοῖς, ἄλλως τε καὶ εἰ ἐκεῖ ἐσθίουσιν.

πρῶτον μὲν οἱ πολῖται εὐμενῶς εἰς ταύτας τὰς πόλεις τοσούτους περιηγητὰς ἐδέχοντο, τὴν γὰρ οἰκονομίαν μάλιστα ὠφέλουν, ἔπειτα δέ, οὐ μόνον τῶν περιηγητῶν πλειόνων ἀλλὰ καὶ πολλῶν αὐτῶν οὕτω καλουμένων "πήρας περιηγητῶν" γενομένων, τοῦτο τοῖς ἐκεῖ οἰκοῦσι πρόβλημα ἐγένετο· παραδείγματος ἕνεκα, τῷ μὲν 1951ῳ ἔτει 175,000 πολῖται ᾤκουν ἐν τῇ Βενετίᾳ, νῦν δὲ μόνον 53,000, οἱ γὰρ Βένετοι οὐκέτι ἐν τῇ πόλει οἰκεῖν βουλόμενοι ἀπὸ ταύτης τῆς περιηγητικῆς εἰσβολῆς ἀποφεύγουσιν· κατ' ἐνιαυτὸν δὲ 700 πολῖται τὴν πόλιν καταλείπουσιν.

ἄλλοι δὲ νομίζουσι τοῦτο οὐκ εἶναι τὴν τοῦ προβλήματος λύσιν, καὶ εἰ ὁμολογοῦνται ὅτι δεῖ τοῦ τε προβλήματος ἐπιμελεῖσθαι καὶ λύσιν τινὰ εὑρεῖν.

Ἐξέτασις ἐν τῇ Δανίᾳ

30 Σεπτεμβρίου 2018

Ἡ Κοπεγχάγη, ἡ τῆς Δανίας πρωτεύουσα πόλις, ἀποκεχωρισμένη ἐνίας ὥρας τῇ Παρασκευῇ ἐγένετο, οἱ γὰρ φύλακες αὐτοκίνητον ἐζήτουν ἐν ᾧ τρεῖς ἄνθρωποι ἐπορεύοντο. κατὰ δὲ τοὺς φύλακας τοῦτο τὸ αὐτοκίνητον, μέλαν ὂν τὸ χρῶμα, Σουηδικὴν πινακίδα ἔχει.

περὶ δὲ τῆς αἰτίας, ὁ μὲν τῶν τῆς Δανίας φυλάκων φερέφωνος εἶπεν ὅτι ἀνθρώπους τινὰς ζητοῖεν "δεινοῦ ἀδικήματος ἕνεκα," ἡ δὲ τῆς Σουηδίας ἐφημερὶς Aftonbladet ὅτι "ἀπαγωγῆς ἕνεκα."

οἱ φύλακες πάσας τὰς γεφύρας ἔκλεισαν τὰς τὴν νῆσον Σελανδίαν τοῖς ἄλλοις τῆς Δανίας μέρεσι καὶ τῇ Σουηδίᾳ συναπτούσας (ἡ Σελανδία νῆσός ἐστιν ἐν ᾗ ἡ Κοπεγχάγη κεῖται), τοῦτο δὲ πολλοὺς ἠνάγκασεν ἐν τοῖς αὐτοκινήτοις ὥρας ἐνίας μένειν μέχρι αὖθις προελθεῖν ἐξείη· οὐδὲ μόνον τοῦτο ἀλλὰ καὶ οἱ φύλακες τὰ πορθμεῖα ἃ τὴν νῆσον τῇ τε Σουηδίᾳ καὶ τῇ Γερμανίᾳ συνάπτει ἐν τοῖς λιμέσιν ἔπαυσαν.

ἔπειτα δέ, καίπερ ἐξὸν αὖθις κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς τὴν νῆσον καὶ ἐκ τῆς νήσου πορεύεσθαι, ἡ τῶν αὐτοκινήτων κίνησις βραδυτάτη ἦν (οἵαν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν ἔξεστιν), οἱ γὰρ φύλακες πάντα τὰ αὐτοκίνητα ἐξήταζον, καὶ τὰ εἰς τὰ πορθμεῖα εἰσιόντα, λέγεται δὲ καὶ ὅτι οἱ φύλακες ἄλλα τε καὶ τὴν ὁδὸν τὴν πρὸς τὴν Ῥωσκίλδην φέρουσαν φυλάττουσιν (οἱ τόδε μὴ εἰδότες ἴσως βούλοιντο ἂν εἰδέναι ὅτι ἡ Ῥωσκίλδη πόλις ἐστὶ τριάκοντα χιλιόμετρα ἀπὸ τῆς Κοπεγχάγης ἀπέχουσα οὗ μουσεῖον Βικίγγων νεῶν κεῖται).

Ἐν μὲν τῇ Ἰνδονησίᾳ, ὁ δὲ Δ. Τρᾶμπ καὶ ἡ Σαουδὶ Ἀραβία

7 Ὀκτωβρίου 2018

Διπλωματικὴ ἅμιλλα

ἐν δὲ τῇ Τουρκίᾳ διπλωματικὴ ἅμιλλα πρὸς τὴν Σαουδὶ Ἀραβίαν ἐγένετο, νεωστὶ μὲν γὰρ ὁ Σαυδάραψ δημοσιογράφος Ἰαμᾶλ Κασσιόγι (ἐν τῇ φωτογραφίᾳ), ὃς πολλάκις τοὺς τῆς Σ. Ἀραβίας ἄρχοντας ἔψεγεν, εἰς τὴν ἐν τῇ Κωνσταντινουπόλει τῆς Σ. Ἀραβίας πρεσβείαν εἰσελθὼν ἠφανίσθη, τήμερον δὲ ἡ τῆς Τουρκίας ἀρχὴ εἶπεν ὅτι οἱ Σαυδάραβες αὐτοὶ τὸν δημοσιογράφον ἀποκτείναιεν· ὅμως δὲ ὁ τῆς Σ. Α. φερέφωνος ταχέως ἀπεκρίνατο ὅτι ὁ Κασσιόγι τὴν πρεσβείαν τῇ αὐτῇ ἡμέρᾳ ᾗ εἰσῆλθεν σῶος ἀπολίποι.

Ἐν τῇ Ἰνδονησίᾳ

Τριάκοντα εἷς παῖδες οἳ τοῦ σεισμοῦ ἕνεκα ἔτι κεχωρισμένοι ἔμενον χθὲς σῶοι ηὑρέθησαν, ἐν τῇ νήσῳ Κέλεβες. τοῦ σεισμοῦ τῇ προτεραίᾳ ἑβδομάδι γιγνομένου οἱ παῖδες ἔτυχον ἐν δυοῖν διδασκαλείοιν ὄντες, εἴκοσι μὲν τριάκοντα αὐτῶν ἐν διδασκαλείῳ τινί, ὀκτὼ δὲ ἐν ἄλλῳ διδασκαλείῳ, οὐδὲ ἐξὸν ἐκ τοῦ καταπεπτωκότος οἰκοδομήματος ἐξιέναι ἔδει αὐτοὺς ἐκεῖ ἑπτὰ ἡμέρας μένειν μέχρι εὑρεθείησαν, ὃ χθὲς ἐγένετο. ταῦτα τὰ διδασκαλεῖα ἐγγὺς τῆς πόλεως Πάλου κεῖται.

δισχίλιοι μὲν ἄνθρωποι ἀπέθανον διὰ τόν τε σεισμὸν καὶ τὴν παλίρροιαν (ἣν "ζουνάμι" καλοῦσιν) ὃ τοῦ σεισμοῦ ἕνεκα ἐγένετο, ἄλλοι δὲ χίλιοι ἔτι καὶ νῦν ἠφανισμένοι μένουσιν.

ὁ πρόεδρος Τρᾶμπ

ἐν δὲ ταῖς ΗΑΠ ὁ πρόεδρος Τρᾶμπ τὴν μάχην ἐνίκησε περὶ τοῦ Ὑψηλοτάτου Δικαστηρίου, δέον γὰρ νέον τούτου τοῦ δικαστηρίου πρόεδρον ἑλέσθαι ὁ Τρᾶμπ δικαστήν τινα προύθηκεν, Καβάναν καλούμενον, ὃν πολλοὶ τῶν βουλευτῶν ἀπεωθοῦντο· τέλος δὲ ὁ Τρᾶμπ κατέπραξεν ὥστε τοὺς βουλευτὰς τὸν Καβάναν ἑλέσθαι.

Ἐν μὲν τῇ Γερμανίᾳ, ἐν δὲ τῇ Γάζῃ καὶ ἐν τῇ Τουρκίᾳ

14 Ὀκτωβρίου 2018

Μάχη ἐν τῇ Γάζῃ

Ἓξ Παλαιστίνιοι ἀπέθανον τῇ Παρασκευῇ ὑπὸ Ἰσραηλιτῶν στρατιωτῶν ἐν τῇ Γάζῃ. πολλοὶ μὲν Παλαιστίνιοι πρὸς τῷ ὅρῳ συνελθόντες τοῖς Ἰσραηλίταις ἀνίσταντο ἅτε βουλόμενοι διὰ τοῦ ὅρου ἐλευθέρως διαβῆναι δύνασθαι, ἔνιοι δὲ αὐτῶν, οὓς ἐν τῇ φωτογραφίᾳ ἰδεῖν ἔξεστιν, τοὺς στρατιώτας λίθοις βάλλοντες καὶ βίᾳ διὰ τοῦ ὅρου διαβάντες εἰς τὸ Ἰσραῆλ εἰσέβησαν, πρὸς οὓς οἱ στρατιῶται ἐπυροβόλησαν· ἓξ μὲν ἀπέθανον, ἄλλοι δὲ ἐτρώθησαν.

Διαδήλωσις ἐν τῇ Γερμανίᾳ

Μυρίοι ἄνθρωποι διαδήλωσιν ἐποίησαν ἐν τῷ Βερολίνῳ ἵνα τῷ ῥαζισμῷ ἐνισταῖντο. αὕτη μὲν ἡ διαδήλωσις οὐχ ὑπὸ μιᾶς ἑταιρείας παρεσκευάσθη ἀλλὰ πολλῶν, πολλοὶ μὲν γὰρ πολῖται φοβοῦνται μὴ τὸ μῖσος τὸ πρὸς τούς τε ξένους καὶ τοὺς κατὰ τὸ γένος διαφόρους αὐξάνηται, ἔνιοι δὲ τῶν διαδηλωτῶν ἐμέμφοντο καὶ τὴν αὔξησιν τὴν τῶν κομμάτων ἃ ὡς ἐπὶ τὸ πολὺ "κόμματα τῆς ἐσχάτης δεξιᾶς" καλοῦμεν.

Τὸν Α. Βρούνσων ἐλευθερῶσιν

Οἱ Τοῦρκοι δικασταὶ τὸν Ἀμερικανὸν ἱερέα Ἀνδρὲς Βρούνσων ἠλευθέρωσαν, ὃν δύο ἔτη ἐν τῷ δεσμωτηρίῳ κατεῖχον. ὁ Α.Β. ἐν τῇ Τουρκίᾳ εἴκοσιν ἔτη ᾤκει, τῷ δὲ 2016ῳ ἔτει, μέρους τινὸς τοῦ στρατεύματος τὴν ἀρχὴν λαβέσθαι πειρωμένου, οἱ ἐν τέλει αὐτοῦ κατηγόρησαν τὸ

τοῖς ἀνθισταμένοις βοηθεῖν, ὃ ὁ φεύγων ἀπέφη· ἡ οὖν τῶν ΗΑΠ ἀρχὴ συνεχῶς τὴν λύσιν ᾔτει, τέλος δὲ τοῦτο χθὲς ἐγένετο, ἤδη τὸ τρίτον ἔτος.

Ὁ μὲν Κασσιόγι, τὸ δὲ Βρέξιτ καὶ ὁ πλουσιώτατος Τανζανός

21 Ὀκτωβρίου 2018

Χαλεπὴ αἵρεσις

Περὶ τὰ ἐν τῇ τῆς Σαουδὶ Ἀραβίας πρεσβείᾳ ἐν τῇ Κωνσταντινουπόλει γενόμενα πλεῖον καθ' ἡμέραν ἀκούομεν, νεωστὶ γὰρ ὁ τῆς πρεσβείας φερέφωνος ὡμολόγησεν ὅτι ὁ Κασσιόγι ἐντὸς τῆς πρεσβείας ἀποθάνοι (ὃ ἤδη πάντες ᾔσμεν), ὅμως δὲ εἶπεν ὅτι ἐν ἀμίλλῃ τινὶ ἀποθάνοι (ὃ οὐδεὶς ὅστις ἂν περὶ τούτων τῶν πραγμάτων μὴ ἀγνοῇ πιστεύει)· ἔπειτα δὲ οἱ μὲν δημοσιογράφοι, τοῦτο τὸ ἄγγελμα ἀκούσαντες, ἤροντο ὅπου ὁ νεκρὸς εἴη, οὔπω δὲ τὴν ἀπόκρισιν ἀκηκόαμεν· πρὸ οὖν τοῦ τῶν ΗΑΠ προέδρου Τρᾶμπ χαλεπὴ αἵρεσις κεῖται νῦν, πρῶτον μὲν γὰρ ἐπειρᾶτο ταύτην τὴν φόνου αἰτίαν τῇ Σαουδὶ Ἀραβίᾳ ἀμύνειν, πολλὰ γὰρ χρήματα ἐκ ταύτης τῆς φιλίας ἐξαρτᾶται, νῦν δὲ πάντων ταῦτα εἰδότων δεῖ αὐτὸν εἴτε τὰ χρήματα εἴτε τἀληθῆ αἱρεῖσθαι.

Μεγίστη διαδήλωσις

Ἐν τῷ Λονδίνῳ μυρίοι Βρετανικοὶ πολῖται διεδηλώσαντο μὲν τῷ οὕτω καλουμένῳ “Βρέξιτ“ ἀνθιστάμενοι, παρὰ δὲ τῶν ἀρχόντων ἐξαιτοῦσιν αὖθις περὶ τοῦτο τὸ πρᾶγμα τοὺς πολίτας ἐρωτᾶν· πέντε δὴ μηνῶν ἐξελθόντων, δεήσει τὸ Ἡνωμένον Βασίλειον ἐκ τῆς Εὐρωπαικῆς Ενώσεως ἐξιέναι, οἱ δὲ πλεῖστοι πολῖται οὐκέτι ἴσασιν ὅπως τὸ Ἡ. Βασίλειον τῆς ἐξόδου γενομένης ταῖς τῆς Εὐρωπαικῆς Ενώσεως χώραις κοινωνήσει· ὅμως δὲ οἱ ταύτῃ τῇ ἐξόδῳ ἐπικουροῦντες λέγουσιν ὅτι ἤδη μὲν ἐξῆν τοῖς πολίταις περὶ τούτου ψηφίζεσθαι, οὐδὲ δὶς περὶ τοῦ αὐτοῦ ψηφίζεσθαι ἔξεστιν ὁπόταν τὸ τῆς ψήφου ἀποβὰν ἐνίοις μὴ ἀρέσκῃ.

Τὸν M. Dewji ἐλευθερῶσιν

Ἐν τῇ Ἀφρικῇ ὁ Τανζανὸς πλουσιώτατος ἐπιχειρηματίας M. Dewji, τετταράκοντα τρία ἔτη γεγονώς, ἠλευθερώθη· ἄνθρωποι μέν τινες τὸ πρόσωπον κεκαλυμμένοι αὐτὸν πρὸς τὸ γυμνάσιον προσβαίνοντα τῇ ἑνδεκάτῃ τούτου τοῦ μηνὸς ἡμέρᾳ ἀπ' ἀνθρώπων ἐν τῇ πόλει Δᾶρ ἐς Σαλᾶμ ἀπεῖρξαν, χθὲς δὲ ἀπέλυσαν. οὐδεὶς οἶδε πότερον οἱ συγγενεῖς λῦσιν τινὰ τοῖς κακούργοις ἔτεισαν ἢ οὔ.

Ἡ μακροτάτη γέφυρα, ἡ δὲ Τιτάνικ καὶ τρομοκρατικὴ προσβολή

28 Ὀκτωβρίου 2018

Ἡ μακροτάτη τῆς οἰκουμένης γέφυρα

Ἡ Σίνα ἤδη τὴν μακροτάτην ὑπὲρ τῆς θαλάττης γέφυραν ἐν τῇ οἰκουμένῃ τετελεύτηκεν, ἧς μέρος τι μικρὸν ἐν τῇ φωτογραφίᾳ ὁρῶμεν. αὕτη ἡ γέφυρα, πεντήκοντα καὶ πέντε χιλιόμετρα τὸ μῆκος, τὰς τρεῖς ἐγγὺς τοῦ Zhujiang ποταμοῦ ("τοῦ Μαργαρίτου ποταμοῦ") κειμένας πόλεις Χὸγκ Κόνγ τε καὶ Ζουχαὶ καὶ Μακάο συνάπτει. καὶ εἰ τὸ πλεῖστον τῆς γεφύρας ὑπὲρ τῆς θαλάττης κεῖται, μέρη τινὰ τῆς ὁδοῦ διὰ ὀρυγμάτων ὑπὸ τοῦ ὕδατος προχωρεῖ, καὶ δὴ καὶ ἐδέησε νήσους τινὰς προσποιητοὺς παρασκευάζειν. κατὰ τοὺς τὴν γέφυραν οἰκοδομήσαντας, χρησίμη μὲν ἔσται ἑκατὸν καὶ εἴκοσι ἔτη, οἵα τ' ἐστὶ δὲ σεισμοῖς βαθμοῦ 8 ἀνθιστάναι.

Ἡ Τιτάνικ αὖθις πλεύσεται

Πλεῖον δὲ νῦν περὶ νεῶν, ἡ γὰρ ἔνδοξος Τιτάνικ αὖθις πλεύσεται. κατ' ἀληθείαν μὲν ἡ Τιτάνικ ναῦς μενεῖ οὗ νῦν κεῖται ἐξ οὗ τῷ 1912ῳ ἔτει κατέδυ, ὑπὸ τῆς θαλάττης, ἣ δὲ νέα Τιτάνικ ἀδελφὴ τῆς πρώτης ἔσται, οἱ γὰρ τῆς ἑταιρείας Blue Star Line ἄρχοντες ἐν νῷ ἔχουσι τὴν νέαν

ναῦν “Τιτάνικ 2“ τῷ 2022ῳ ἔτει τελευτᾶν, ἢ παντελῶς ἴση τῇ καταδεδυμένῃ νηὶ ἔσται... πλὴν τοῦδε, ὅτι πλείονα σκάφη ἕξει, ἡ γὰρ προτέρα ναῦς μείονα σκάφη εἶχεν ἢ ὥστε πάντας τοὺς ἐπιβάτας σῴζειν δύνασθαι (περὶ 1,500 ἀπέθανον).

Τρομοκρατικὴ προσβολὴ ἐν ταῖς ΗΑΠ

Ἕνδεκα ἄνθρωποι οἳ ἐν συναγωγῇ τινι ἦσαν ἐν τῇ πόλει Pittsburgh ἀπέθανον τῷ Σαββάτῳ ὑπὸ τρομοκράτου τινὸς. κατὰ τὸν τῆς πόλεως φερέφωνον, ὁ τρομοκράτης (ὃς ταχέως ὑπὸ τῶν φυλάκων κατεσχέθη) εἰς τὴν συναγωγὴν “Δένδρον τοῦ Βίου“ καλουμένην ἀφικόμενος οὐ μόνον πρὸς τοὺς εὐχομένους ἐπυροβόλησεν ἀλλὰ καὶ πρὸς τοὺς φύλακας οἳ τὸν νεὼν ἐφύλαττον, ἴσμεν δὲ νῦν ὅτι εἷς τῶν ἀποθανόντων φύλαξ ἐστίν· ὁ φερέφωνος οὔπω εἶπεν οἵτινες οἱ ἄλλοι δέκα εἶεν, πότερον φύλακες ἢ εὐχόμενοι, ἴσμεν δὲ ὅτι ὁ φονεύς, Robert Bowers ὀνόματι, τετταράκοντα καὶ ἓξ ἔτη γεγονώς, ἐβόησε “δεῖ πάντας τοὺς Ἰουδαίους ἀποθανεῖν!“ πρὶν πυροβολῶν ἄρχεσθαι.

Κατακλυσμὸς ἐν τῇ Ἰταλίᾳ, πλεῖον περὶ τοῦ Κασσόγι καὶ ἡ Τρᾶμπ-Ὀβάμα ἅμιλλα

4 Νοεμβρίου 2018

Κατακλυσμὸς ἐν τῇ Ἰταλίᾳ

Δέκα ἄνθρωποι ἀπέθανον ἐν τῇ Ἰταλίᾳ τῶν θυελλῶν ἕνεκα αἳ ἐν πολλοῖς τῆς χώρας μέρεσι ἀπροσδόκητον δύναμιν ἀπέδειξαν. αὗται αἱ θύελλαι δύο στοιχεῖα εἶχον· ὑετόν τε καὶ πνεῦμα· τὸ μὲν πνεῦμα οὕτω καρτερῶς ἔπνει ὥστε πολλὰ δένδρα κατέβαλεν, ὁ δὲ τῆς Γενούης ἀερολιμὴν ἔτι καὶ νῦν κεκλεισμένος μένει, ὁ δὲ ὑετὸς τοσοῦτος ἐγένετο ὥστε ἐν τῇ Βενετίᾳ ἡ μὲν ὑδροστάθμη ἑκατὸν πεντήκοντα καὶ ἓξ ἑκατοστόμετρα ἀνέβη, ἡ δὲ ἔνδοξος Ἁγίου Μάρκου

ἀγορὰ παντελῶς κατακεκλυσμένη κεῖται καὶ αἱ νῆες "vaporetti" καλούμεναι (τὰ θαλάττια λεωφορεῖα) οὐ πλέουσιν.

Περὶ τοῦ Κασσόγι

Πλεῖον περὶ τοῦ Κασσόγι, λέγεται γὰρ νῦν ὅτι ὁ πρόεδρος Τρᾶμπ, ὃς ἐν τῇ τοῦ πράγματος ἀρχῇ οὐκ ᾔδει ὅ τι λέγοι, οὐχ ἅλις ἥμαρτεν ἔπειτα λέγων ὅτι ἡ Σαουδὶ κρύψις ἡ περὶ τοῦ Κασσόγι ἡ χειροτάτη ἐν τῇ τῶν κρύψεων ἱστορίᾳ εἴη, πρῶτον μὲν γὰρ εἶπον οἱ Σαουδίες φερέφωνοι ὅτι ὁ Κασσόγι πεζῇ ἐκ τῆς πρεσβείας ἐξέλθοι, ἔπειτα δὲ ὅτι ἐν τῇ πρεσβείᾳ ἀποθάνοι ἅτε ἀνθρώπῳ τινὶ μαχόμενος, χθὲς δὲ ᾔσθοντο οἱ Τοῦρκοι ἐξετασταὶ τοὺς Σαουδῖες, τὸν Κασσόγι ἀποκτείναντας καὶ τὸ σῶμα ἀνὰ μικρὰ μέρη ἀνατεμόντας, ὀξεῖ ὕδατι χρωμένους διαλύσαντας, τῇ αὐτῇ μεθόδῳ ᾗ χρῶνται οἱ ναρκοκάπηλοι ὁπόταν βούλωνται ἄνθρωπόν τινα αὐτοὺς ταράττοντα ἀφανίζεσθαι.

Ὁ τε Τρᾶμπ καὶ Ὁ Ὀβάμα

ὁ πρότερος τῶν ΗΑΠ πρόεδρος Β. Ὀβάμα ἀντεῖπε χθὲς τοῖς τοῦ νῦν προέδρου Δ. Τρᾶμπ περὶ τῶν μετοίκων λόγοις, οὗτος γὰρ νεωστὶ εἶπεν ὅτι δέοι τὸν νόμον μεταβαλεῖν καθ' ὃν πάντες οἳ ἐντὸς τῶν ΗΑΠ γενόμενοι τὴν Ἀμερικανὴν πολιτείαν αὐτομάτως κτῶνται· κατὰ μὲν τὸν Τρᾶμπ οἱ τῶν ξένων παῖδες παρὰ τοὺς νόμους ἐν ταῖς ΗΑΠ ὄντων οὐ δίκαιοί εἰσι τὴν Ἀμερικανὴν πολιτείαν κτᾶσθαι, κατὰ δὲ τὸν Ὀβάμα τὸν πρόεδρον, ὅστις ἂν ᾖ, οὐ δίκαιόν ἐστι κρίνειν ὅστις Ἀμερικανὸς πολίτης γίγνεται καὶ ὅστις οὐ πολίτης γίγνεται· ὁ δὲ Ὀβάμα ἔψεξε καὶ τὸ στρατιώτας πρὸς τὸν ὅρον πέμπειν ἵνα τοὺς εἰς τὴν χώραν εἰσβῆναι πειρωμένους κωλύωσιν.

Ὁ Μέγας Πόλεμος, ἅμιλλα δὲ Μακρὸν-Τρᾶμπ καὶ ἔμπρησις ἐν τῇ Καλιφορνίᾳ

11 Νοεμβρίου 2018

Τέλος τοῦ Πρώτου Παγκοσμίου Πολέμου

Ἤδη ἑκατὸν ἔτη ἐξῆλθεν ἐξ οὗ ὁ Πρῶτος Παγκόσμιος Πόλεμος τέλος ἔσχεν, εἴκοσι γὰρ ἑκατομμυρίων ἀνθρώπων ἀποθανόντων, τῇ 11ῃ Νοεμβρίου τοῦ 1918ου ἔτους τῇ 11ῃ ὥρᾳ οἱ τῶν μαχομένων χωρῶν φερέφωνοι τὴν συναλλαγὴν ὑπεγράψαντο. οὗτος ὁ πόλεμος "ὁ Μέγας Πόλεμος" καλεῖται, τοσοῦτος γὰρ ἐγένετο ὥστε οἱ τότε, νομίζοντες ἀδύνατον εἶναι χαλεπώτατον ἄλλον πόλεμον γενήσεσθαι, τοῦτο τὸ ὄνομα αὐτῷ ἐπέθεσαν. ἔτι καὶ νῦν, καίπερ τοῦ Δευτέρου Παγκοσμίου Πολέμου (1939-45) πολὺ χειροτέρου γενομένου, τὸν Πρῶτον "τὸν Μέγαν Πόλεμον" καλοῦμεν.

τὸ ἐκείνου τοῦ πολέμου ἀποβὰν ἤδη ἴσμεν· ἄλλαι μὲν χῶραί τε καὶ ἀρχαὶ (ἡ Ὀθωμανικὴ Ἀρχὴ καὶ ἡ τῆς Αὐστροουγγαρίας Ἀρχή, παραδείγματος ἕνεκα) ἠφανίσθησαν, ἄλλαι δὲ ἐπεφάνησαν.

Αὖθις ἅμιλλα Μακρὸν-Τρᾶμπ

Τὸ δὲ ἐκείνου τοῦ πολέμου τέλος ἐπαινέσοντες οἱ πολλῶν χωρῶν ἄρχοντες εἰς τὸ Παρίσι συνῆλθον, ἐκεῖ δὲ νέον μέρος ἐξῆν ἰδεῖν τῆς Μακρὸν-Τρᾶμπ ἁμίλλης, νεωστὶ μὲν γὰρ ὁ Μακρὸν Εὐρωπαῖον στράτευμα συντάττειν προὔθηκεν ἵνα τῇ Εὐρώπῃ τὴν Σίναν καὶ τὴν Ῥωσσίαν καὶ... τὰς ΗΑΠ ἀμύνοι, τοῦτο δὲ τὸ τελευταῖον τῆς προθέσεως μέρος τῷ Τρᾶμπ, ὃς τυγχάνει πρόεδρος τῶν ΗΑΠ ὤν, οὐκ ἤρεσεν.

Δεινὴ ἔμπρησις ἐν τῇ Καλιφορνίᾳ

Ἐν δὲ τῇ Καλιφορνίᾳ εἴκοσι καὶ τρεῖς ἄνθρωποι ἀπέθανον ἐμπρήσεως δεινῆς ἕνεκα· αὕτη ἡ ἔμπρησις τοσαύτη μὲν καὶ τοιαύτη γεγένηται ὥστε ἡ πόλις Παράδεισος παντελῶς κατεκαύθη,

αἱ δὲ φλόγες προχωροῦσι καὶ νῦν μόνον ἑκατὸν χιλιόμετρα ἀπὸ τῆς πρωτευούσης Σακραμέντο καίουσιν.

ὅ τε Κασσόγι καὶ τὸ Βρέξιτ καὶ ἡ Ῥωσσία

18 Νοεμβρίου 2018

Περὶ τοῦ Κασσόγι

Πλεῖον περὶ τοῦ Κασσόγι πράγματος, κάτα γὰρ τὴν CIA ὁ τοῦ βασιλέως υἱὸς Μοχάμεδ Βὶν Σαλμᾶν (ὃν ἐν τῇ φωτογραφίᾳ ὁρῶμεν) ἐκέλευσε τὸν δημοσιογράφον Κασσόγι ἀποκτείνειν· πρῶτον μὲν ὁ τῆς Σαουδὶ Ἀραβίας ἐν ταῖς ΗΑΠ πρεσβευτής, ὃς τυγχάνει ἀδελφὸς τοῦ Μ.Β.Σαλμᾶν ὤν, τὸν Κασσόγι ἐπώτρυνε (ὁ Κασσόγι ἐν ταῖς ΗΑΠ ᾧκει) πρὸς τὴν Κωνσταντινούπολιν πορεύεσθαί τε καὶ εἰς τὴν πρεσβείαν εἰσιέναι ἵνα γράμματά τινα δέχοιτο, ἔπειτα δὲ τοῦτο ἐγένετο ὃ ἤδη πάντες ἴσμεν.

Περὶ τοῦ Βρέξιτ

Περὶ τοῦ οὕτω καλουμένου "Βρέξιτ" πράγματος τί νέον δεῖ λέγειν; ἤδη γὰρ τὴν κρίσιν ἢ ἐπὶ τῆς πρωθυπουργοῦ Τερέσα Μαῖ ἀρτᾶται ἴσμεν· πέντε τῶν ὑπουργῶν τῆς ἀρχῆς ἐξέστησαν, ἄλλοις μὲν γὰρ αἱ συνθῆκαι ὑπὸ τῆς πρωθυπουργοῦ προτεθεῖσαι οὐκ ἀρέσκουσιν ἅτε ἄγαν κράτους τῇ Εὐρωπαικῇ Ἑνώσει διδοῦσαι, ἄλλοι δὲ ἕλοιντο ἂν τοὺς συνδέσμους τοὺς τὸ Ἡνωμένον Βασίλειον τῇ Ε.Ε. συνάπτοντας παντελῶς τέμνειν. νῦν δὲ δεῖ μένειν τε καὶ θεωρεῖν πότερον ἡ ἀρχὴ τὰς προτεθειμένας συνθήκας δέξεται ἢ οὔ.

Περὶ τῆς Ῥωσσίας

Τὸ Εὐρωπαικὸν τῶν Ἀνθρωπίνων Δικαιωμάτων Δικαστήριον νεωστὶ τὴν τῆς Ῥωσσίας ἀρχὴν κατέγνωσεν ἅτε τοὺς ἀνθισταμένους διώκουσαν, ὃ παρὰ τοὺς διεθνεῖς νόμους κεῖται. τάδε δὲ τὰ γεγενημένα ἐστίν· ἡ μὲν τῆς Ῥωσσίας ἀρχὴ βίᾳ τὸν ἀνθιστάμενον Ἀλέξιν Ναβάλιν δὶς συνέλαβεν, νῦν δὲ δεῖ τὴν ἀρχὴν αὐτῷ 63,000 Εὐρωπαῖα νομίσματα ὡς ἀντικαταλλαγὴν τίνειν. οὐδὲ τὸ πρῶτον τὸ Εὐρωπαικὸν Δικαστήριον τῆς Ῥωσσίας καταγιγνώσκει, τῷ γὰρ 2014ῳ ἔτει ἡ Ῥωσσικὴ ἀρχή, κελεύσασα τοὺς φύλακας τὸν τῶν ἀνθισταμένων ἄρχοντα ἑπτάκις συλλαβεῖν, ὑπό τούτου τοῦ Ε. Δικαστηρίου κατεγνώσθη.

Μεγαλόπολις ἐν τῇ Σίνᾳ, ὁ πρὸς τὰς ΗΑΠ στόλος καὶ τὸ Βρέξιτ

25 Νοεμβρίου 2018

Μεγαλόπολις ἐν τῇ Σίνᾳ

Ἡ Σίνα μεγάλην βουλὴν ἐν νῷ ἔχει· τὰς πόλεις Beijing τε καὶ Tianjin ἐντὸς τῆς ἐπαρχίας Hebei καλουμένης συνάπτειν καὶ μέρος τῶν πολιτῶν ἐν ταύταις ταῖς πόλεσι νῦν οἰκούντων διὰ ταύτης τῆς ἐπαρχίας διαμένειν καὶ μεγαλόπολιν νέαν κτίζειν. ὅμως δὲ τοῦτο τὸ νόημα οὐδαμῶς νέον ἐστίν, ὁ γὰρ πρόεδρος Xi Jinping ἤδη τῷ 2015ῳ ἔτει περὶ τούτου διανοήματά τινα παρασκευάζων ἤρξατο· ἡ δὲ αἰτία; ἐν τῇ πόλει Beijing 22 ἑκατομμύρια πολιτῶν οἰκοῦσιν, τοῦτο δὲ προβλήματα πολλὰ παρέχει· ἑκατομμύρια αὐτοκινήτων, ἀέριον ῥύπασμα, κτλ., δεῖ οὖν ταύτην τὴν πόλιν μειοῦν. τὸ μὲν ταύτης τῆς νέας μεγαλοπόλεως ὄνομα "Jingjinji" εἴη ἄν, ἐντὸς δὲ αὐτῆς 120 ἑκατομμύρια πολιτῶν οἰκοῖεν ἄν.

Ὁ πρὸς τὰς ΗΑΠ στόλος

Ὁ στόλος ὃς τῷ Ὀκτωβρίῳ μηνὶ ἐκ τῆς Ὀνδούρας ἀπελθὼν πρὸς τὰς ΗΑΠ προχωρεῖ

κεφαλαλγίας πολλὰς τῷ Δ. Τρᾶμπ παρέχει, διαβεβαιοῦται γὰρ ὁ πρόεδρος ὅτι ἐὰν τοσοῦτοι ξένοι εἰς τὰς ΗΑΠ παρὰ τοὺς νόμους εἰσβαίνωσι τὸ οἰκονομικὸν τῆς χώρας σύστημα κακῶς πείσεται. πρῶτον μὲν ὁ Τρᾶμπ, πλείστους φύλακάς τε καὶ στρατιώτας παρὰ τὸν ὅρον παρατιθείς, τοὺς εἰς τὰς ΗΑΠ εἰσβῆναι πειρῶντας μεταπείθειν ἐπείρασε μὴ τὸν ὅρον διαβῆναι, νῦν δὲ ἰδὼν τὸν στόλον οὐδαμῶς παυόμενον καὶ συνεχῶς προχωροῦντα τοὺς στρατιώτας οἳ τὸν ὅρον φυλάττουσιν ἐκέλευσε πρὸς τούτους οἵτινες ἂν παρὰ τοὺς νόμους εἰσιέναι πειρῶσι πυροβολεῖν, πάντες οὖν θαυμάζουσιν ὅ τι γενήσεται ὅταν ὁ στόλος εἰς τὸν ὅρον ἀφίκηται.

Συνθῆκαι περὶ τοῦ Βρέξιτ

Ἡ Εὐρωπαικὴ Ἕνωσις ἐψηφίσατο τήμερον τὰς συνθήκας ἃς ἡ Βρετανικὴ πρωθυπουργὸς Τ. Μεῖ αὐτοῖς περὶ τοῦ οὕτω καλουμένου "Βρέξιτ" προὔθηκεν, δεήσει δὲ νῦν τὴν πρωθυπουργὸν καὶ τοὺς Βρετανικοὺς βουλευτὰς πείθειν ταύτας τὰς συνθήκας δέχεσθαι, ὃ οὐδαμῶς ῥᾴδιον γενήσεται. ὁ Ἰοῦνκερ, ὃς τῆς Ε.Ε. προεδρεύει, εἶπε τήμερον, τῶν συνθηκῶν ἤδη ψηφισθεισῶν, ὅτι αὕτη ἡ ἡμέρα οὔτε πρὸς τὸ δακρύειν οὔτε πρὸς τὸ χαίρειν ἐπιτηδεία εἴη, τὸ μὲν γὰρ Ηνωμένον Βασίλειον ἐντὸς τῆς Ε.Ε. τετταράκοντα καὶ πέντε ἔτη μεῖναι, νῦν δὲ δόξειε τοὺς Βρετανικοὺς πολίτας ἐξελθεῖν.

Ἄμιλλα Οὐκραίνα-Ῥωσσία, ὁ G. Bush ἀποθνῄσκει καὶ βίβλος τις ἐν τῇ Ῥωσσίᾳ ἀπαγορεύεται

2 Δεκεμβρίου 2018

Ἄμιλλα Οὐκραίνα-Ῥωσσία

Ὁ τῆς Οὐκραίνης πρόεδρος Ποροσιένκω ἀπηγόρευκε τοὺς πλείστους τῶν Ῥωσσικῶν πολιτῶν εἰς τὴν Οὐκραίνην εἰσβῆναι, μόνον δὲ τοῖς τε οὔπω ἑκκαίδεκα ἔτη καὶ τοῖς πλείονα ἑξήκοντα

ἔτη γεγονόσιν εἰσβῆναι ἐξέσται· ὡς ἔπος εἰπεῖν, εἰσβῆναι οὐκ ἐῶσι τοὺς ἐν τῇ τοῦ μάχεσθαι ἡλικίᾳ ὄντας. ἡ δὲ αἰτία; ἀμίλλης πρὸς τὴν Ῥωσσίαν νεωστὶ γενομένης (νεωστὶ ἡ Ῥωσσία τρεῖς Οὐκρανιάνας ναῦς ἐν τῇ τοῦ Ἀζὸβ Θαλάττῃ ἁμιλλησαμένη τοὺς ναύτας κατέλαβεν, οἳ ἔτι καὶ νῦν ἐν τῇ Ῥωσσίᾳ μένουσιν), ὁ Ποροσιένκω οὐ βούλεται τὸ αὐτὸ νῦν γενέσθαι καὶ τῷ 2014ῳ ἔτει, ἐκείνῳ μὲν γὰρ τῷ χρόνῳ ὁ Ποῦτιν πλείστους στρατιώτας εἰς τὴν τῆς Κριμαίας χερσόνησον εἰσέπεμψεν πολίτας εἶναι προσποιουμένους (ἄνευ στρατιωτικῶν στολῶν), τὸ δὲ ἀποβὰν ἤδη ἴσμεν.

Ὁ G. Bush 41 ἀποθνῄσκει

Ὁ πρὸ τοῦ πρόεδρος G. Bush ἀπέθανε προχθὲς ἐνενήκοντα καὶ τέτταρα ἔτη γεγονώς. τὰ τελευταῖα ἔτη βαδίζειν οὐκ ἐδύνατο, τῆς νόσου Πάρκινσον καλουμένης κωλυούσης. ὁ G. Bush 41 (οὕτω καλούμενος ἵνα τὼ δύο Bush διακρίνωμεν, ὁ γὰρ υἱὸς G. Bush καὶ τῶν ΗΑΠ πρόεδρος ἐγένετο, ὁ μὲν πατὴρ τετταρακοστὸς πρῶτος, ὁ δὲ υἱὸς τετταρακοστὸς τρίτος) ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐμαχέσατο, πρὶν δὲ εἰς τὴν προεδρείαν ἀφικέσθαι ἄρχων τῆς CIA ἐγένετο· πρόεδρος δὲ γενόμενος, τὸν μὲν πρῶτον πρὸς τὸ Ἰρᾶκ πόλεμον ἤγαγεν, ἔπειτα δὲ τῷ 2016ῳ ἔτει οὔτε ὁ Bush 41 οὔτε ὁ Bush 43 τῷ Δ. Τρᾶμπ ἐπεκούρησαν καίπερ ἑταίρῳ τοῦ αὐτοῦ κόμματος ὄντι, τοὐναντίον, αὐτὸν γὰρ πολλάκις ψέγοντες τῇ Hillary Clinton ἐψηφίσαντο. ὁ Τρᾶμπ τοῦτο κακῶς ἤνεγκεν, ἐν δὲ τοῖς τῆς Barbara Bush ἐνταφίοις (αὕτη γὰρ τῷ μηνὶ Ἀπριλίῳ ἀπέθανεν) οὐ παρῆν. ἆρα παρέσται τοῖς τοῦ Bush 41 ἐνταφίοις;

Βίβλον ἀπαγορεύουσιν ἐν τῇ Ῥωσσίᾳ

Ὁ ἔνδοξος συγγραφεὺς Jeffrey Archer τὸ αὐτὸ ἆθλον ἐκτήσατο καὶ ὁ George Orwell καὶ ὁ Boris Pasternak, οὐ γὰρ δύναται τὴν ἑαυτοῦ τελευταίαν βίβλον "Heads You Win" ἐν τῇ Ῥωσσίᾳ ἐκδιδόναι· ἤδη εἴκοσι καὶ εἷς ἐκδοτικοὶ οἶκοι ἀπέωσαν αὐτὴν ἐκδιδόναι, καὶ εἰ τὸ πρότερον ἑκκαίδεκα τῶν τούτου τοῦ συγγραφέως βίβλων ἐν τῇ Ῥωσσίᾳ ἐξεδόθησαν. ἡ δὲ αἰτία; ἐν ταύτῃ τῇ νέᾳ βίβλῳ ὁ J. A. ἐξηγεῖται τὸν νεανίου τινὸς βίον ᾧ, τῶν γονέων ὑπὸ τοῦ KGB ἀποθανόντων, δοκεῖ ἐκ τῆς Ῥωσσίας ἐκφυγεῖν (ἡ πρᾶξις περὶ τοῦ 1965ου ἔτους γίγνεται).

Ἅμιλλα Σίνα-Κανάδα, τὸ Βρέξιτ καὶ ταραχὴ ἐν τῇ Γαλλίᾳ

9 Δεκεμβρίου 2018

Ἡ Σίνα καὶ τὸ Κανάδα

Ἄμιλλα ἐγένετο νεωστὶ μεταξὺ τῆς Σίνης καὶ τοῦ Κανάδα, οἱ γὰρ ταύτης τῆς χώρας φύλακες, τῶν ΗΑΠ αἰτησασῶν, τὴν Meng Wanzhou ἐν τῷ τῆς πόλεως Βανκοῦβερ ἀερολιμένι εἰς ἀεροσκάφος εἰσβήσεσθαι μέλλουσαν κατέλαβον. αὕτη ἡ γυνὴ τυγχάνει οὖσα θυγάτηρ τοῦ τὴν ἐπιχείρεσιν Huawei κτίσαντος, τὴν μεγίστην τῶν τηλεπικοινωνιῶν ἐπιχείρησιν, μείζονα τῆς Apple αὐτῆς οὖσαν. κατὰ τὸν τῶν ΗΑΠ φερέφωνον, ἡ μὲν M.W. ἐπείρασεν ἠλεκτρονικὴν σκευὴν τῷ Ἰρᾶν πωλεῖν, διὰ δὲ τοῦτο ᾔτησαν αἱ ΗΑΠ τὸ Κανάδα αὐτὴν συλλαβεῖν· τῆς δὲ συλλήψεως γενομένης, οἱ τῆς Σίνας ἄρχοντες τὸν τοῦ Κανάδα ἐν τῷ Πεκίνῳ πρεσβευτὴν καλέσαντες ἀπῄτησαν τὴν M.W. εὐθὺς ἐλευθεροῦν, ὃ οὔπω ἐγένετο, ἡ οὖν Σίνα νῦν ἀπειλεῖ ἀμοιβὰς ἀνταποδιδόναι.

Τὸ Βρέξιτ (πῶς γὰρ οὔ;)

Πλεῖον περὶ τοῦ Βρέξιτ, ἡ γὰρ ἡμέρα ἡ τῆς κρίσεως προσχωρεῖ (δεῖ τοὺς βουλευτὰς τῇ Τρίτῃ ἡμέρᾳ ψηφίζεσθαι καὶ εἴτε τὰς συνθήκας δέχεσθαι εἴτε ἀπωθεῖν)· τήμερον ἡ Βρετανικὴ πρωθυπουργὸς Τ. Μεῖ εἴρηκεν ὅτι ἐὰν οἱ βουλευταὶ τὰς περὶ τοῦ Βρέξιτ συνθήκας ἀπωθῶσι τὸ μὲν Ἡνωμένον Βασίλειον εἰς ἀπορίαν πεσεῖται καὶ εἰς "ἀνερεύνητον θάλατταν" εἰσπλεύσεται, ἀρχαιρεσίαι δὲ γενήσονται καὶ ἴσως τό τε Βρέξιτ αὐτὸ οὐ γενήσεται καὶ τὸ Η.Β. ἐντὸς τῆς Εὐρωπαικῆς Ἑνώσεως μενεῖ, τοῦτο δὲ τὸ τελευταῖον δῆλόν ἐστιν ἀπειλὴ ὂν τοῖς σκληρότερον Βρέξιτ προαιροῦσιν, οὗτοι γὰρ διαβεβαιοῦνται ὅτι αὗται αἱ συνθῆκαι ἀσθενέστεραί εἰσιν ἢ ὥστε τὴν βουλὴν δέχεσθαι.

Ταραχὴ ἐν τῇ Γαλλίᾳ

Διαμένει ἡ ταραχὴ ἐν τῇ Γαλλίᾳ, ἐν γὰρ πλείσταις τῶν μεγάλων πόλεων οἱ οὕτω καλούμενοι “ξανθαὶ χλαμύδες“ (οἱ ἁρματηλάται οἳ τῇ τοῦ πετρελαίου τιμῇ ἐνίστανται) αὖθις (ἤδη τετράκις) διεδηλώσαντο. καὶ εἰ ἐν πλείστοις τόποις αἱ διαδηλώσεις εἰρηνικῶς ἐγένοντο, ἐν ἄλλοις τε καὶ τῇ πρωτευούσῃ Παρίσι οἱ φύλακες πολλοὺς διαδηλωτὰς συνέλαβον (1,385 κατὰ πᾶσαν τὴν Γαλλίαν) ὁπότε ταραχὴ γένοιτο. οὐ λέγοιμεν ἂν ὅτι τὸ Παρίσι τήμερον ἔρημον ἐπεφάνη, ἀλλὰ πολλὰ μουσεῖά τε καὶ καπηλεῖα κεκλεισμένα ἦν. ὁ πρόεδρος Μακρὸν εἶπε μετὰ τὴν ταραχὴν ὅτι τῇ Δευτέρᾳ τοῖς πολίταις διὰ τῆς τηλεοράσεως περὶ τῶν γενομένων ἀγγελοῖ.

Τὸ Βρέξιτ (πῶς γὰρ οὔ;), αἱ φάλαιναι καὶ ὁ John Bercow

19 Ἰανουαρίου 2019

Περὶ τοῦ Βρέξιτ

Αὖθις δεῖ ἡμᾶς περὶ τοῦ οὕτω καλουμένου “Βρέξιτ“ διαλέγεσθαι, ἡ γὰρ ἡμέρα ᾗ δεήσει τὸ Ἡνωμένον Βασίλειον τὴν Εὐρωπαικὴν Ἕνωσιν καταλιπεῖν προσχωρεῖ, τὴν δὲ συνθήκην ὑπὸ τῆς πρωθυπουργοῦ Τ. Μαῖ τῇ Βρετανικῇ Βουλῇ προτεθεῖσαν οἱ πλεῖστοι τῶν βουλευτῶν ἀπώθησαν, οὐ μόνον οἱ τῶν ἄλλων κομμάτων βουλευταὶ (ὃ ἀεὶ γὶγνεται) ἀλλὰ καὶ πολλοὶ τοῦ ἑαυτῆς κόμματος· τούτου δὲ γενομένου, ἡ Τ. Μαῖ τοὺς μὲν τῶν ἄλλων κομμάτων ἄρχοντας συνεκάλεσεν ἵνα μεταβολάς τινας προθεῖεν, ἐν δὲ νῷ ἔχει τῇ ἐπιγιγνομένῃ ἑβδομάδι νέαν συνθήκην προθεῖναι. λόγῳ μὲν δεῖ τὸ Ἡ.Βασίλειον τὴν Εὐ. Ἕνωσιν τῇ 29ῃ Μαρτίου καταλιπεῖν, ἔργῳ δὲ καθ' ἡμέραν μᾶλλον πάντες λέγουσιν ὅτι ἴσως ἡ ἔξοδος ἀναβληθήσεται, οὔτε γὰρ τὸ Η.Β. οὔτε ἡ Ε.Ε. ἔξοδον ἄνευ συνθήκης βούλονται, τοῦτο γὰρ κακὸν πᾶσιν εἴη ἄν.

Αἱ φάλαιναι καὶ ἡ Ἰαπωνία

τὸ δὲ περὶ τῶν φαλαινῶν πρόβλημα ἤδη γιγνώσκομεν, οἱ ἁλιεῖς τοσαύτας ἁλιεύουσιν ὥστε κίνδυνός ἐστι μὴ πᾶσαι ἀφανίζωνται. τούτων οὕτως ἐχόντων αἱ μὲν πλεῖσται τῶν χωρῶν ὡμολόγησαν ἤδη πάλαι τὴν φαλαινῶν ἁλιείαν μειοῦν, ὅμως δὲ ἡ Ἰαπωνία ἤγγειλε νεωστὶ ὅτι φαλαίνας αὖθις ἁλιεύσοι, οἱ γὰρ ταύτης τῆς χώρας ἄρχοντες νομίζουσιν οὐκέτι εἶναι κίνδυνον μὴ τοῦτο τὸ γένος ἀφανίζηται. ὡς τὸ εἰκός, πᾶσαι αἱ ἄλλαι χῶραι αἳ τὴν συνθήκην ὑπεγράψαντο τοῦτο τὸ ἄγγελμα ἐμέμψαντο.

Ὁ τῆς Βουλῆς φερέφωνος

ἐπανερχόμεθα δὲ αὖθις εἰς τὸ Ἡνωμένον Βασίλειον, ἀνὴρ γάρ τις ὡς τὸ αὐτὸ ἤδη δέκα ἔτη πεποίηκεν ἐξαίφνης ἔνδοξος γεγένηται· ὁ John Bercow. οὗτος ὁ ἀνὴρ φερέφωνος τῆς Βρετανικῆς Βουλῆς ἐστιν, δεῖ δὲ αὐτὸν τοὺς ἐν τῇ Βουλῇ διαλόγους καὶ τὰς ἁμίλλας κυβερνᾶν τε καὶ πολλάκις κατέχειν, ὁπόταν δὲ οἱ βουλευταὶ τοσοῦτο ἀλλήλοις ἀμφισβητοῦσιν ὥστε ὀλίγου δεῖν οὐκέτι διαλέγονται ἀλλὰ θορυβοῦσιν ἀκούομεν αὐτὸν βοῶντα “εὐταξίαν, εὐταξίαν!“ τοῦτο πολλὰ ἔτη πεποίηκεν, ἀλλὰ νεωστὶ Γερμανικὸς δημοσιογράφος μεγάλην γραφὴν περὶ αὐτοῦ ἔγραψεν, τὸ δὲ τῆς γραφῆς κύριον οὐκ ἦν ἡ ἐργασία αὐτὴ ἀλλὰ ὅπως ταύτην τὴν ἐργασίαν ἐργάζεται, πολλάκις γὰρ αὐτὸς τοῖς ἄλλοις βουλευταῖς βοᾷ καὶ ὥσπερ ἄν εἰ στρατηγὸς εἴη αὐτοὺς σιγᾶν κελεύει.

Ἡ Βενεζουέλη, ὁ δὲ Μουγάβη καὶ ἡ Μαλασία

26 Ἰανουαρίου 2019

Ἐν τῇ Βενεζουέλῃ

ἆρα τίς ἀληθῶς νῦν ἐν τῇ Βενεζουέλη ἄρχει; αὕτη ἡ χώρα ἔχει νῦν δύο προέδρους, τόν τε

Μαδοῦρο καὶ τὸν Γουαιδό (ὃν ἐν τῇ φωτογραφίᾳ ὁρῶμεν ἀγορεύοντα), ἄμφω τὸ αὐτὸ λέγοντας· “κατὰ τοὺς νόμους ἐγὼ μὲν ὁ ἀληθὴς πρόεδρός εἰμι, ὁ δὲ ἕτερος ψεύδεται.“ ἐν δὲ ταύτῃ τῇ ἁμίλλῃ οὐ μόνον δύο προέδρους ἀλλὰ καὶ δύο μάχας ἰδεῖν ἔξεστιν, τήν τε ἐσωτερικὴν καὶ τὴν ἐξωτερικήν· ἐν μὲν τῇ ἐσωτερικῇ μάχῃ πειρῶσιν οἱ δύο ἀντίπαλοι τὸ ἔρεσμα τὸ τῶν τε πολιτῶν καὶ τοῦ στρατεύματος κτᾶσθαι, ἐν δὲ τῇ ἐξωτερικῇ τὸ τῶν ἄλλων χωρῶν ἔρεσμα κτᾶσθαι, ἡ δὲ νῦν κατάστασις ἥδε ἐστίν· ὁ μὲν τῶν ΗΑΠ πρόεδρος Τρᾶμπ τῷ Γουαιδὸ ἐπικουρεῖ, ὁ δὲ Ποῦτιν τῷ Μαδοῦρο, ἡ δὲ Εὐρωπαία Ἕνωσις διπλωματικῶς μένουσα οὐδετέρῳ ἐπικουρεῖ καί, τῆς μάχης τελευτησάσης, φιλτάτη γενήσεται τούτῳ ὅστις ἂν νικᾷ. πρὸς δὲ τούτοις τἀὲν τῇ Βενεζουέλῃ παρόντα κάκιστα ἐγένετο, πολλοὶ οὖν τῶν πολιτῶν τὴν χώραν ἀπολιπόντες οἴχονται· ὅμως δὲ αὕτη ἡ δυσχέρεια ἤρξατο ἤδη τοῦτο τὸ δεύτερον ἔτος πρὶν τόν τε Μαδοῦρο καὶ τὸν Γουαιδὸ τῆς ἀρχῆς ἕνεκα ἁμιλλᾶσθαι.

Ὁ Ῥόβερτ Μουγάβη

ὁ δὲ Ῥόβερτ Μουγάβη ἐξαίφνης κατὰ ἑκατομμύρια δολάρων πενέστερος ἐγένετο, ἄνθρωπος γάρ τις ταῦτα τὰ χρήματα ἐκ τῆς οἰκίας αὐτοῦ ἔκλεψεν. οἱ δὲ ὕποπτοι τέτταρές εἰσιν· τρεῖς θεράποντες οἳ ἐν τῇ οἰκίᾳ ἐργάζονται καὶ συγγενής τις ἡ κλεῖδα τῆς οἰκίας τυγχάνει ἔχουσα. τῷ δὲ κλέπτῃ, ὅστις εἴη, τοῦτο ῥᾷστον ἐγένετο, ὁ γὰρ Μουγάβη τὸ πλεῖστον τοῦ χρόνου ἀποδημεῖ τῆς ὑγιείας ἕνεκα. τῷ μὲν μηνὶ Νοεμβρίῳ τοῦ 2017ου ἔτους, ἤδη 94 ἔτη γεγονὼς καὶ τῆς χώρας 37 ἔτη ἄρξας, τῆς ἀρχῆς ἐξέστη, νῦν δὲ οὕτως ἀσθενεῖ ὥστε δεῖ αὐτὸν πολλάκις ξένα νοσοκομεῖα φοιτᾶν, λέγεται δὲ ὅτι οὐκέτι βαδίζειν δύναται.

Ἐν τῇ Μαλασίᾳ

ἐν δὲ τῇ Μαλασίᾳ οἱ ἐννέα σουλτάνοι σύνοδον ποιήσονται ἵνα νέον βασιλέα ἑλῶσιν. ἐν ταύτῃ τῇ χώρᾳ κατὰ πέντε ἔτη οἱ ἐννέα σουλτάνοι νέον βασιλέα αἱροῦνται, οὐδέποτε γὰρ ὁ αὐτὸς βασιλεὺς εἰς ἀεὶ βασιλεύει ἀλλὰ μόνον πέντε ἔτη. νεωστὶ μὲν ὁ βασιλεὺς Μοχαμᾶδ τῆς ἀρχῆς ἀπροσδοκήτως ἐξέστη μόνον δύο ἔτη βασιλεύσας (τὴν αἰτίαν οὐκ εἶπεν). ὁ δὲ νέος βασιλεὺς τῇ 31ῃ τούτου τοῦ μηνὸς ἡμέρᾳ τὴν βασιλείαν δέξεται.

Ὁ Ἀσσᾶδ, πυρηνικὰ πύραυλα καὶ νέος συγγραφεύς

2 Φεβρουαρίου 2019

Περὶ τοῦ Ἀσσᾶδ

Τῇ 22ῃ ἡμέρᾳ τοῦ Φεβρουαρίου τοῦ 2012ου ἔτους ἡ Μαρία Κόλβιν, Ἀμερικανὴ δημοσιογράφος ἣν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα, εἰς οἰκοδόμημά τι ἐν τῇ πόλει Ὅμς εἰσέβη, ἐν τῇ Συρίᾳ. τῆς μὲν ἐπὶ τὸν Ἀσσᾶδ ἀναστάσεως ἤδη τῷ προτέρῳ ἔτει ἀρξαμένης, ἡ Μ.Κ. περὶ τῶν τε ἀδικημάτων καὶ τῶν φόνων τῶν τοῦ Ἀσσᾶδ πολλάκις ἔγραφεν, ὃ τῷ τῆς χώρας ἄρχοντι οὐ μάλιστα ἤρεσκεν, τῆς δὲ δημοσιογράφου εἰς τοῦτο τὸ οἰκοδόμημα εἰσελθούσης, οἱ μὲν τοῦ Ἀσσᾶδ στρατιῶται πύραυλον ἐπ' αὐτὸ ἐπυροβόλησαν, ἡ δὲ Μ.Κ. καὶ ἄλλος Γαλλικὸς δημοσιογράφος ἀπέθανον (τοῦτο τὸ οἰκοδόμημα κέντρον ἦν τῶν ξένων δημοσιογράφων ἐν τῇ πόλει Ὅμς). νῦν δὴ οἱ δικασταὶ ἔκριναν τοὺς τοῦ Ἀσσᾶδ στρατιώτας ἐκεῖσε πυροβολήσασθαι ἅτε ἰδόντας αὐτὴν ἐκεῖσε εἰσβαίνουσαν.

Τὰ πυρηνικὰ πύραυλα

Αἱ ΗΑΠ τὰς συνθήκας καταλείψουσιν ἃς τῇ Ῥωσσίᾳ ἤδη πάλαι συνέγραψαν περὶ τοῦ τὸν πυρηνικῶν ὅπλων ἀριθμὸν μειοῦν. κατὰ μὲν τοὺς Ἀμερικανοὺς ἡ Ῥωσσία νέον πυρηνικὸν πύραυλον ἔχει νῦν ὃ πέτεσθαι δύναται πλεῖον 500 χιλιόμετρα (οὗτος δὲ ἦν ὁ τῶν συνθηκῶν ὅρος), κατὰ δὲ τὴν Μοσκβὰ ὃ μὲν οἱ Ἀμερικανοὶ λέγουσιν ἀληθὲς οὐκ ἔστιν, τὸ δὲ πύραυλον πέτεσθαι οἷόν τ' ἐστὶ μόνον 480 χιλιόμετρα, τοῦτο δὲ τὰς συνθήκας οὐ παραβαίνει· τὸ δὲ τοῦ πυραύλου ὄνομα SSC-8 ἐστίν, νεωστὶ δὲ οἱ τῆς Ῥωσσίας ἄρχοντες ξένους δημοσιογράφους εἰς τὸ στρατόπεδον Κουβῖγκα καλούμενον ἠκολούθησαν ἵνα αὐτοῖς τοῦτο τὸ νέον πύραυλον δείξειεν. ὅμως δὲ αἱ μὲν συνθῆκαι αὐταὶ κύριαι ἔσονται ἔτι τοὺς ἐπιγιγνομένους ἓξ μῆνας, ἡ δὲ Ἀγγέλα Μέρκελ τοὺς δύο ἀνταγωνιστὰς ᾔτησε τούτοις τοῖς μησὶ χρῆσθαι ὅπως ταύτην τὴν ἅμιλλαν τελευτῶσιν.

Πρῶτον μὲν φυγάς, ἔπειτα δὲ ἔνδοξος συγγραφεύς

Φυγάς τις ὃς νῦν ἐν τῇ νήσῳ Μάνους πεφυλαγμένος μένει ἐκτήσατο τὸ μέγιστον τῶν συγγραφέων ἐν τῇ Αὐστραλίᾳ ἆθλον. οὗτος ὁ ἀνήρ, Κοῦρδος τὸ γένος, εἰς τὴν Αὐστραλίαν τῷ 2013ῳ ἔτει κατὰ θάλατταν εἰσιέναι επειράσατο, ὅμως δὲ τοὺς φύλακας οὐκ ἔλαθε καὶ καταληφθεὶς εἰς ταύτην τὴν νῆσον ἐπέμφθη, οὗ μένουσι 600 ἄλλοι ξένοι καὶ ἐξουσίαν οὐ λαβόντες εἰς τὴν χώραν εἰσιέναι πειράσαντες. ἐν τῇ βίβλῳ ὁ συγγραφεὺς (οὗ τὸ ὄνομα Behrouz Boochani ἐστὶν) ἡμῖν περὶ τοῦ ἑαυτοῦ βίου ἐν ταύτῃ τῇ νήσῳ διηγεῖται, οὗ μένων ἐλπίζει ἄλλην τινὰ χώραν αὐτὸν δέξεσθαι.

Ἐν τῇ Ταιλανδίᾳ. ἐν δὲ τῷ Καυκάσῳ καὶ ἐν τῇ Γαλλίᾳ

9 Φεβρουαρίου 2019

Ἡ τῆς Ταιλανδίας ἄνασσα

Ἡ τῆς Ταιλανδίας ἄνασσα (ἐν τῇ φωτογραφίᾳ) ἐν νῷ εἶχεν τῶν ἐπιγιγνομένων ἀρχαιρεσιῶν μετέχειν, ἀλλὰ τοῦτο τὸ βούλευμα ἐφήμερον ἐγένετο, ὁ γὰρ βασιλεὺς (καὶ πατὴρ) τοῦτο ἀκούσας ὡς τάχιστα ἤγγειλεν ὅτι τοῦτο ἀπρόσδεκτον εἴη, δέοι γὰρ τοὺς τοῦ βασιλέως συγγενέας τῆς πολιτικῆς πράξεως μὴ μετέχειν. τὸ πρόβλημα τόδε ἐστίν· ἡ μὲν ἄνασσα Ἀμερικανῷ ἀνδρὶ γαμεθεῖσα τὰ βασιλικὰ διπλώματα ἀπέωθεν, κατὰ δὲ τους νόμους ἐξῆν αὐτῇ τοῦτό τε ποιήσαντι καὶ οὐκέτι ἀνάσσῃ οὔσῃ ἐν ταῖς ἀρχαιρεσίαις ἀγωνίζεσθαι· ὅμως δὲ κατὰ τὸν βασιλέα ἡ τοῦ βασιλέως θυγάτηρ πρὸ τῶν τῆς Ταιλανδίας πολιτῶν ἔτι καὶ νῦν ἄνασσα ἐστίν.

Τρισὶν ἑκατονταετίαις ἐβίωσαν

ἐν δὲ τῷ Καυκάσῳ ἔθαψαν νεωστὶ τὰς δύο γεραιτάτας γυναῖκας τῆς Ῥωσσίας, τὴν μὲν 128 ἔτη

γεγονυῖαν, τὴν δὲ 129. αὗται αἱ δύο γυναῖκες τρισὶ μὲν ἑκατονταετίαις ἐβίωσαν, εἶδον δὲ τὸ τῆς τῶν ζάρων ἀρχῆς τέλος καὶ τὴν τοῦ κομμουνισμοῦ γένεσίν τε καὶ τὸ τέλος καὶ τὴν τῆς νέας Ῥωσσίας ἀρχήν, τύχῃ δὲ αἱ δύο ὀλίγου δεῖν τῇ αὐτῇ ἡμέρᾳ ἀπέθανον. κατὰ τοὺς οἰκείους, αἱ δύο γυναῖκες Μουσουλμάναι ἦσαν καὶ τὸ Ῥαμαδᾶν ἀκριβῶς ἐφύλαττον.

Διπλωματικὴ κρίσις

ὁ δὲ τῆς Γαλλίας πρόεδρος Μακρῶν καὶ ὁ Ἰταλὸς τῶν Ἐσωτερικῶν ὑπουργὸς Σαλβίνι ἅμιλλαν ἔχουσιν ἤδη πάλαι, τοῦτο δὴ πάντες ἴσασιν, ὅμως δὲ νῦν αὕτη ἡ ἅμιλλα ἀγριωτέρα ἐγένετο, ἔχομεν γὰρ νῦν ὃ καλεῖται “διπλωματικὴ κρίσις.“ ἡ δὲ αἰτία; ὁ Ἰταλὸς ὑπουργὸς τοῖς οὕτω καλουμένοις “ξανθοῖς ἱματίοις“ ἐπικουρεῖ οἳ τῷ προέδρῳ Μακρῶν ἀνθίστανται, ὃς τοῦτο χαλεπώτατα ἤνεγκεν, οὐδαμῶς γὰρ δεῖ τοὺς ἥστινὸς ἂν χώρας ἄρχοντας περὶ τὰ ἄλλης τινὸς χώρας πολυπραγμονεῖν. ὁ Σαλβίνι φωτογραφίαν μὲν ἔδειξεν ἐν ᾗ ἔξεστιν αὐτὸν ἰδεῖν παρὰ ἄρχοντας τινὰς τῶν “ξανθῶν ἱματίων“ φιλικῶς ἑστηκότα, ὑπὸ δὲ τῇ φωτογραφίᾳ ἔγραψεν “ὁ τῆς μεταβολῆς ἄνεμος διὰ τῶν Ἀλπέων διέβη,“ ὃ ἀναγνοὺς ὁ Μακρῶν τὸν ἐν τῇ Ῥώμῃ πρέσβυν ἐκέλευσε τὴν Ἰταλίαν καταλιπεῖν.

Τὸ τεῖχος, τὰ δὲ ξανθὰ ἱμάτια καὶ ὁ πρέσβυς

16 Φεβρουαρίου 2019

Αὖθις τὸ τεῖχος

Ἤδη περὶ τοῦ ἐνδόξου τείχους πολλάκις ἀκηκόαμεν ὃ ὁ πρόεδρος Τρᾶμπ οἰκοδομεῖν βούλεται παρὰ τῷ ὅρῳ τῷ τὰς ΗΑΠ ἀπὸ τοῦ Μέξικο σχίζοντι. πρῶτον μὲν πάντες οἱ ἔμπειροι οἳ ἑαυτοὺς “πολιτολόγους“ καλοῦσιν εἶπον ὅτι ὁ Τρᾶμπ, ἐν ταῖς ἀρχαιρεσίαις ἀγωνίζων, τοῦτο προθείη

ψήφους ῥᾳδίως τε καὶ ταχέως κτᾶσθαι βουλόμενος καὶ ὅτι αὕτη ἡ ὑπόσχεσις, τῶν ἀρχαιρεσιῶν γενομένων, ταχέως εἰς λήθην ἐλεύσοιτο· ὅμως δὲ ὁ Τρᾶμπ βούλεται τὴν ὑπόσχεσιν ἐκπληροῦν, ἀλλὰ πόθεν ἔξεστιν αὐτῷ τοσαῦτα χρήματα εἰς τοσοῦτο βούλευμα ἀναγκαῖα κτᾶσθαι ἐὰν ἡ τῶν ΗΑΠ βουλὴ διδόναι μὴ ἐθέλῃ; τῆς βουλῆς χρήματα διδόναι οὐ βουλομένης, ὁ Τρᾶμπ ἐν νῷ ἔχει τὸ οὕτω καλούμενον ”δημοσία ἀνάγκη“ ἐκκηρύττειν, τοῦτο μὲν γὰρ ἐξουσίαν μὲν αὐτῷ δοίη ἂν τοσούτοις χρήμασι χρῆσθαι ὅσοις βούλοιτο, ἡ δὲ βουλὴ τοῦτο κωλύειν οὐκ ἂν ἔχοι. πολλοὶ βουλευταὶ ἤδη τούτῳ ἀνθεστήκασιν.

Αὖθις τὰ ξανθὰ ἱμάτια

τῇ μὲν τῆς ἁμίλλης ἀρχῇ οἱ πλεῖστοι τῶν τῆς Γαλλίας πολιτῶν τοῖς οὕτω καλουμένοις “ξανθοῖς ἱματίοις“ ἐπεκούρουν, ὅμως δὲ αἱ διαδηλώσεις διαμένουσι καὶ καθ' ἑβδομάδα εἴτε τῷ Σαββάτῳ εἴτε τῇ Κυριακῇ ταραχὴ ἐν τοῖς τῶν μεγάλων πόλεων κέντροις γίγνεται. οἵ τε ἔμποροι καὶ οἱ κάπηλοι ἀγανακτοῦσιν, αὗται γὰρ αἱ διαδηλώσεις τὴν ἐμπορικὴν πρᾶξιν βλάπτουσι καὶ ἐὰν οἱ διαδηλοῦντες μὴ βούλωνται. ἡ ἑταιρεία "France Urbaine" νομίζει τριάκοντα ἑκατομμύρια εὕρων εἶναι τὰ χρήματα ἃ οἱ κάπηλοι οὐκ ἐκτήσαντο τούτων τῶν διαδηλώσεων ἕνεκα (δεῖ γὰρ διὰ τὴν ταραχὴν τὰ καπηλεῖα κλείειν), ὧν τὸ ἥμισυ ἐν τῷ Παρίσι, ἐξ οὗ ἡ ἅμιλλα ἤρξατο.

Ὁ πρέσβυς αὖθις πίζας ἐσθίει

ὁ τῆς Γαλλίας πρέσβυς, ὁ Christian Masset, ὃς ἐκ τῆς Ῥώμης εἰς τὸ Παρίσι ἐκλήθη μικρᾶς διπλωματικῆς ἁμίλλης ἕνεκα, αὖθις ἐν τῇ αἰωνίῳ πόλει τυγχάνει ὢν οὗ εὐδαιμόνως οἰκεῖ, αὖθις δὲ ἔξεστιν αὐτῷ τοσαύτας πίζας ἐν τῇ Ἀγορᾷ Ναβόνᾳ ἐσθίειν ὅσας ἂν βούληται (περὶ τῆς αἰτίας ἣ ταύτην τὴν διπλωματικὴν ἅμιλλαν ἔφυσεν ἔξεστιν ἐν τοῖς νέοις τῇ 9ῃ Φεβρουαρίου γεγραμμένοις ἀναγιγνώσκειν). κατὰ δὲ τὸ εἰκός, πρῶτον μὲν πάντες διπλωματικήν τινα κρίσιν εἶδον δεινήν τε καὶ ἐπικίνδυνον ἐσομένην, ἔστι δὲ οἳ ἤγγειλαν μέγιστον πόλεμον τὴν ὅλην Εὐρώπην ταράξοντα· τέλος δέ, ὡς ἀεί... οὐδέν.

Τὸ Ἰσλαμικὸν Κράτος, ἡ δὲ Βενεζουέλα καὶ ἡ Σαουδικὴ Ἀραβία

23 Φεβρουαρίου 2019

Τὸ Ἰσλαμικὸν Κράτος ἀποθνῄσκει

Τὸ Ἰσλαμικὸν Κράτος τέτταρα ἔτη καὶ ἓξ μῆνας καὶ ἑπτακαίδεκα ἡμέρας διέμεινεν. ἐκείνῃ μὲν τῇ ἡμέρᾳ τῷ 2015ῳ ἔτει ὁ Abu Bakr al Bagdadi ἐν ἱερῷ τινι ἐν τῇ πόλει Μόσουλ, τῇ δευτέρᾳ πόλει ἐν τῷ Ἰρᾶκ κατὰ τὸ μέγεθος, "καλίφην" ἑαυτὸν ἑλόμενος πάντας τοὺς Μουσουλμάνους εἰς τὸ Ἰσλαμικὸν Κράτος εἰσεκάλεσεν, τὸν παράδεισον ἐνθάδε ἐν τῇ γῇ κείμενον, χώραν τινὰ μέρος τοῦ τε Ἰρᾶκ καὶ τῆς Συρίας ἔχουσαν, καίπερ δὲ τὸ πρῶτον οἱ οὕτω καλούμενοι ζιχαδισταὶ μάλιστα εὐτυχοῦντες μεγάλην χώραν κατέσχον βραδέως τε καὶ βάδην τὸ μέγεθος αὐτῆς ἐμειοῦτο, τῷ δὲ 2017ῳ ἔτει συνέβη αὐτοῖς ὃ δυναίμεθα ἂν καλεῖν "ἡ τοῦ τέλους ἀρχή", ἐκείνῳ γὰρ τῷ ἔτει πρῶτον μὲν ἐκ τῆς πόλεως Παλμίρα τῷ μηνὶ Μαρτίου ἐξεβλήθησαν, ἔπειτα δὲ τῷ Ἰουλίῳ ἐκ τῆς πόλεως Μοσοῦλ, ἐκ δὲ τῆς πόλεως Ῥάκκα τῷ Ὀκτωβρίῳ, τέλος δὲ μόνον μικρότατον χωρίον κατεῖχον παρὰ τῷ ὅρῳ τῷ μεταξὺ τῆς Συρίας καὶ τοῦ Ἰρᾶκ ὃ ταῖς ἐπιγιγνομέναις ὥραις ἀποβαλοῦσιν. ὅμως δὲ οἱ ζιχαδισταὶ οὐκ ἀφανίζονται, μένουσι γὰρ κατὰ μικροτάτας ἀγέλας ἐν ταύταις τοῖν δυοῖν χώραιν.

Ἐν τῇ Βενεζουέλῃ

Πλείονα δὲ περὶ ὅρων, νῦν γὰρ δεῖ ἡμᾶς τὸν νοῦν ἐν τῇ Βενεζουέλῃ προσέχειν. περὶ τῆς στάσεως ἐκεῖ γενομένης ἤδη ἴσμεν· ἡ μὲν χώρα δύο προέδρους ἔχει, τὸν Μαδοῦρο καὶ τὸν Γουαιδό, ἑκάτερος δὲ διαβεβαιοῦται ὁ ἀληθὴς πρόεδρος εἶναι. τί δὲ συμβαίνει νῦν; λόγῳ μὲν τήμερον τῷ Σαββάτῳ ἐκ τῆς Κολομβίας ἅμαξαί τινες εἰς τὴν Βενεζουέλην ἀφίξονται ἀναγκαῖα (σῖτόν τε καὶ φάρμακα) τοῖς πολίταις ὡς οἴσουσαι, ἔργῳ δὲ ὁ Μαδοῦρο, δηλοῦν βουλόμενος ὅτι αὐτὸς καὶ οὐδεὶς ἄλλος τοὺς τῆς χώρας ὅρους κατέχει, ἐκέλευσε χθὲς τοὺς στρατιώτας τὸν ὅρον παντελῶς κλεῖσαι καί, ἐὰν ἀναγκαῖον γίγνηται, πυροβολεῖν ἵνα τὰς ἁμάξας παύωσιν. ὅ τι γενήσεται ὁπόταν αὗται αἱ ἅμαξαι (ὑπὸ ἄλλων χωρῶν πεμφθεῖσαι, τοῦ Γουαιδὸ ἑκόντος) εἰς τὸν ὅρον ἀφίκωνται οὔπω ἴσμεν.

Ἐκ τῆς Σαουδικῆς Ἀραβίας ἐκφυγεῖν

Βαίνομεν νῦν πρὸς τὸ Χὸγγ Κόγγ, ἐκεῖ γὰρ μένουσιν ἤδη ἓξ μῆνας δύο ἀδελφαὶ αἳ ἐκ τῆς Σαουδικῆς Ἀραβίας ἐξέφυγον. αὗται αἱ δύο ἀδελφαί, ἑτέρα μὲν ὀκτωκαίδεκα ἔτη, ἑτέρα δὲ εἴκοσι γενονυῖαι, πρῶτον μὲν εἰς τὴν Σρὶ Λάγκα ἀφίκοντο ὡς συγγενέσι τισὶν ἐντευξόμεναι, ἔπειτα δὲ οὐ βουλόμεναι πρὸς τὴν Σ. Ἀραβίαν ἐπανελθεῖν πρὸς τῆν Αὐστραλίαν διὰ τοῦ Χὸγγ Κὸγγ πέτεσθαι ἐπείρασαν, ἀλλὰ ἐκεῖ ἐν τῷ ἀερολιμένι ὁ τῆς Σ. Α. πρεσβευτὴς τοὺς τῆς ShriLankan Airlines ἑταιρείας ἐργαστὰς ἐκέλευσεν ἀπ' αὐτῶν τὰ διαβατήρια ἀφαιρεῖν, ἐπείρασε δὲ τὰς δύο ἀδελφὰς πείθειν πρὸς τὴν πατρίδα ἐπανελθεῖν· τέλος δὲ ἔδοξε μὲν ταῖς ἀδελφαῖς ἐκ τοῦ ἀερολιμένος ἐκφυγούσαις ἐν τῇ πόλει κρύπτεσθαι, ἐκει δὲ ἤδη πολλάκις τὸ οἴκημα μεταβεβλήκασιν, φοβοῦνται γὰρ μὴ ἀποθανῶσιν· ἀλλὰ διὰ τί κινδυνεύουσιν; διότι ἐκ μὲν τοῦ Ἰσλαμισμοῦ ἐξέστησαν, τοῦτο δὲ κατὰ τοὺς τῆς Σ. Α. νόμους θανάτου ἄξιόν ἐστιν.

Ὁ τοῦ Βὶν Λάδεν υἱός, ὁ δὲ Βουτεφλίκα καὶ οἱ Ῥοχῖγγαι

2 Μαρτίου 2019

Ὁ τοῦ Βὶν Λάδεν υἱός

Ἤδη τὸ ὄγδοον ἔτος ἐξ οὗ ὁ τῆς Ἄλ Καῖδα ἄρχων Ὀσάμα Βὶν Λάδεν ὑπὸ Ἀμερικανῶν στρατιωτῶν ἀπέθανεν, νεωστὶ δὲ ὁ υἱὸς αὐτοῦ, Ἄμζα Βὶν Λάδεν ὀνόματι, περὶ οὗ οὐ πολὺ διελέγοντο (οὐ γὰρ ἀκριβῶς ᾔδεσαν πότερον βιοίη ἢ ἀποθάνοι) αὖθις ἐπεφάνη, ἤρξατο γὰρ ἐποτρύνων τοὺς ζιχαδιστὰς ταῖς ΗΑΠ καὶ τῷ Ἰσραῆλ καὶ τῷ Λονδίνῳ καὶ τῷ Παρίσι ἐπιτίθεσθαι. ὁ νῦν τῆς Ἄλ Καῖδα ἄρχων ὁ Αἰγύπτιος Αἰμᾶν ἂλ Ζαουαχίρι ἐστίν, λέγεται δὲ ὅτι ὁ Ἄμζα Β. Λ. αὐτὸν ὠφελεῖ. τούτων δὲ οὕτως ἐχόντων, ἡ μὲν Ἀμερικανὴ ἀρχὴ ἑκατομμύρια δολάρων παρέχει ᾧτινὶ ἂν ἄγγελμά τι δῷ περὶ αὐτοῦ, καίπερ δὲ οὐδενὸς εἰδότος ὅπου ἐστὶ

λέγεται ὅτι μένει μὲν ἐν τῷ Ἰρᾶν παρὰ τοῖς τῆς μητρὸς συγγενέσιν ἢ ἐν τῷ Ἀφγανιστᾶν, βούλεται δὲ ὑπὲρ τοῦ πατρὸς τιμωρίαν λαβεῖν.

Ἐν τῇ Ἀλγερίᾳ

Τῆς δὲ Ἀλγερίας λόγῳ μὲν ὁ Βουτεφλίκα ἄρχει, ἔργῳ δὲ ὁ στρατός· ὁ Βουτεφλίκα πρόεδρός ἐστιν ἐξ οὗ τῷ 1999ῳ ἔτει εἰς τὴν ἀρχὴν ἀφίκετο, ἀλλὰ ἤδη μὲν τὸ ἕκτον ἔτος οὔτε βαδίζειν οὔτε διαλέγεσθαι δύναται (ἔπαθε γὰρ ἰσχυρὸν ἐγκεφαλικὸν ἐπεισόδιον), οἱ δὲ πολῖται αὐτὸν διὰ τούτου "τὴν μούμιαν" ὀνομάζουσιν, τοῦ οὖν ἀληθοῦς προέδρου οὐδὲν ποιεῖν δυναμένου, ὁ στρατὸς τῆς χώρας ἄρχει. τῇ μὲν ἐπιγιγνομένῃ 18ῃ Ἀπριλίου ἀρχαιρεσίαι γενήσονται ἐν τῇ χώρᾳ, τοῦ δὲ στρατοῦ προθέντος τὸν Βουτεφλίκα αὖθις πρόεδρον γενέσθαι (ὃ τῷ ὄντι ἐῴη ἂν τὸν στρατὸν ἐν τῇ ἀρχῇ μένειν) οἱ πολῖται ἀνθίστανται, τῇ δὲ Τρίτῃ ταύτης τῆς ἑβδομάδος διαδηλώσεις πολλαὶ τὰς ἀγυιὰς ἐπλήρωσαν.

Ἐν τῷ Βαγγλαδές

Τὸ Βαγγλαδὲς τῷ Ἡνωμένῳ Ἐθνῶν Ὀργανισμῷ ἤγγειλε νεωστὶ ὅτι οὐκέτι ἐξείη ταύτῃ τῇ χώρᾳ πλείονας Ῥοχίγγας δέχεσθαι. οἱ μὲν Ῥοχῖγγαι ἐκ τοῦ Μυανμᾶρ ἐκφεύγουσιν, Μουσουλμάνοι γὰρ ὄντες ὑπὸ τοῦ στρατοῦ διώκονται, ἤδη δὲ 17,000 τὸ Μυανμᾶρ καταλιπόντες ἠγαγκάσθησαν τὸν ὅρον διαβαίνειν καὶ ἐν τῷ Βαγγλαδὲς κατοικίζεσθαι, οὗ πάντων τῶν ἀναγκαίων ἐνδεεῖς ὄντες κακῶς περίεισιν· ὅμως δὲ μυρίοι μὲν ὑπὸ τοῦ στρατοῦ ἀπέθανον πρὶν ἀποφεύγειν δύνασθαι, πολλαὶ δὲ κῶμαι διεφθάρησαν. ὁ τῶν Ἐξωτερικῶν τοῦ Βαγγλαδὲς ὑπουργὸς τὴν τοῦ Μυανμᾶρ ἀρχὴν αἰτιᾶται τοὺς Ῥοχίγγας ἐπανελθεῖν κωλύειν, κατὰ μὲν γὰρ τὴν τοῦ Μ. ἀρχὴν ἔξεστι τοῖς Ῥοχίγγαις ἐπανελθεῖν, τῷ δὲ ὄντι οὐδεὶς ἐπανελθεῖν βούλεται, ἴσασι γὰρ ὅ τι αὐτοῖς πρόκειται ἐὰν ἐπανελθῶσιν.

Ὁ τῆς Φινλανδίας πρωθυπουργός, ὁ δὲ Ποῦτιν καὶ ἡ ἐν τῇ Συρίᾳ κόρη

9 Μαρτίου 2019

Ἐν τῇ Φινλανδίᾳ

Ἐν τῇ Φινλανδίᾳ, χώρᾳ περὶ ἧς οὐ πολλάκις διαλέγονται αἱ ἐφημερίδες διότι ὡς ἐπὶ τὸ πολὺ πάντα ἐκεῖ εὖ ἔχει, ἀπροσδόκητόν τι ἐγένετο νεωστί, ὁ γὰρ πρωθυπουργός (ὃν ἐν τῇ φωτογραφίᾳ δυνάμεθα ἰδεῖν), Juha Sipila τῷ ὀνόματι, τῆς ἀρχῆς ἐξέστη· ἡ δὲ αἰτία; δέον τὸ τῆς ὑγιείας σύστημα μεταβαλεῖν, ὁ μὲν πρωθυπουργὸς τῇ βουλῇ βούλευμά τι προὔθηκεν, ἡ δὲ βουλὴ τοῦτο τὸ βούλευμα ἀπεψηφίσατο. τὸ τῆς Φινλανδίας πρόβλημα, καίπερ τὸ αὐτὸ ὂν καὶ ἐν πολλαῖς ἄλλαις χώραις, ἐκεῖ θᾶττον προσχωρεῖ· σχεδὸν μὲν τὸ τέταρτον τῶν πολιτῶν μέρος γεραίτερόν ἐστιν ἑξήκοντα πέντε ἐτῶν, οὐδὲ ἱκανοὶ παῖδες γίγνονται οἳ ὡραῖοι γενόμενοι ἐργάσοιντό τε καὶ δασμοὺς ἱκανοὺς τίσοιεν ἄν, πάντες οὖν οἱ βουλευταὶ ἀλλήλοις μὲν περὶ τοῦδε ὁμολογοῦσιν, ὅτι δεῖ τὸ τῆς ὑγιείας σύστημα μεταβαλεῖν, παντελῶς δὲ ἀσυμφωνοῦσι περὶ τοῦ τρόπου.

Ἐν τῇ Ῥωσσίᾳ

Ἐν δὲ τῇ Μόσχῃ διαδήλωσις γενήσεται τὸ αὔριον τῇ Κυριακῇ, οἱ δὲ διαδηλωταὶ τῷ προέδρῳ Ποῦτιν ἐνστήσονται, ὁ γὰρ πρόεδρος προχθὲς νέον νόμον κατέθηκε καθ' ὃν ἐξέσται νῦν κολάζειν (εἴτε οἰκονομικοῖς κολάσμασιν εἴτε καὶ τῷ δεσμωτηρίῳ ἐὰν κατὰ τοὺς ἄρχοντας ἀναγκαῖον γένηται) τοὺς πολίτας καὶ τοὺς δημοσιογράφους οἵτινες ἂν τοὺς ἄρχοντας ὑβρίζωσιν. κατὰ δὲ τοὺς εἰς τὴν διαδήλωσιν εἰσκαλοῦντας τὸ ἀμφισβήτημα διπλοῦν ἐστιν, πρῶτον μὲν γὰρ δεῖ εἰδέναι πότερον δίκαιόν ἐστι τοὺς τὴν ἀρχὴν ὑβρίζοντας κολάζειν, ἔπειτα δὲ εἰδέναι δεῖ ὅ τι “ὑβρίζειν“ σημαίνει, κατὰ γὰρ τοὺς τῷ προέδρῳ ἀνθισταμένους δικαστής τις δύναιτο ἂν λέγειν ὅτι τὸ τὴν οἰκονομικὴν τῆς ἀρχῆς πολιτικὴν ἐν ἐφημερίδι τινὶ ψέγειν τὸ αὐτὸ καὶ ὑβρίζειν ἐστίν.

Ἐν τῇ Συρίᾳ

Ἡ δὲ ἐπιγιγνομένη ἀγγελία ἡμᾶς πρὸς τὴν Συρίαν φέρει, πολλὰ γὰρ ἀκηκόαμεν νεωστὶ περὶ τῆς Shamima Begum, τῆς κόρης ἣ πεντεκαίδεκα ἔτη γεγονυῖα ἅμα δυοῖν ἄλλαιν κόραιν ἀπὸ τοῦ Ηνωμένου Βασιλείου τῷ 2015ῳ ἔτει πρὸς τὴν Συρίαν ἀπῆλθεν ἵνα τῷ Ἰσλαμικῷ Κράτει συστήσαιτο. τῶν δὲ τριῶν κορῶν, ἡ μὲν ἐκεῖ ἀπέθανεν, περὶ δὲ τῆς δευτέρας οὐδὲν ἴσμεν, ἡ δὲ τρίτη, ἡ Σ. Β., ζιχαδιστῇ τινι ἐγαμέθη. ἡ μὲν Σ. Β., Βρεταννικὴν πολιτείαν ἔχουσα ὅτε ἀπῆλθεν, βούλεται νῦν εἰς τὸ Ηνωμένον Βασίλειον ἐπανελθεῖν, ἡ δὲ Βρεταννικὴ ἀρχὴ αὐτὴν τῆς Βρεταννικῆς πολιτείας ἐστέρησεν, ὃ αὐτὴν ἐπανελθεῖν κωλύει. ὁ δὲ τῆς Σ. Β. ἀνὴρ ἅτε Ὁλλανδικὴν πολιτείαν ἔχων ἐπειράσατο τὴν τῆς Ὁλλανδίας ἀρχὴν πεῖσαι αὐτοὺς δέχεσθαι, ἀλλὰ καὶ ἡ ταύτης τῆς χώρας ἀρχὴ τοῦτο ἀπέωσεν.

Αὖθις τὸ Βρέξιτ, ὕδωρ ἐν τῇ Βενεζουέλῃ καὶ ὁ μόνος ἐπιβάτης

4 Ἀπριλίου 2019

Αὖθις τὸ Βρέξιτ

Διαμένει ἡ περὶ τοῦ οὕτω καλουμένου “Βρέξιτ“ κατάστασις, λόγῳ μὲν γὰρ ἔδει τὸ Ἡνωμένον Βασίλειον τὴν Εὐρωπαικὴν Ἕνωσιν τῇ 29ῃ τοῦ Μαρτίου καταλιπεῖν, ἔργῳ δὲ οὐδεμιῶν συνθηκῶν ποιηθεισῶν τὸ Η.Β. ἔτι καὶ νῦν ἐντὸς τῆς Ε.Ε. μένει, ἡ γὰρ Ε.Ε. τῇ μὲν πρωθυπουργῷ Τερέσσα Μεῖ αἰτησάσῃ ἀναβολὴν ἔδωκεν ἵνα τοὺς συμβουλευτὰς πείθοι τὰς συνθήκας δέχεσθαι (ἃς μέχρι τοῦδε ἀπωθήκασιν), τὴν δὲ 12ην ἡμέραν Ἀπριλίου ὡς νέον ὅρον κατέθηκεν· ὅμως δὲ ἤδη πανταχοῦ λέγεται ὅτι ἡ πρωθυπουργὸς ἐὰν τοὺς συμβουλευτὰς μὴ πείθῃ τὰς συνθήκας δέχεσθαι δευτέραν ἀναβολὴν τὴν Ε.Ε. αἰτήσει, καὶ εἰ βραχυτάτην, τὴν γὰρ Ε.Ε. ἄνευ συνθηκῶν καταλιπειν οὐδαμῶς ἀγαθὸν τῇ τῆς χώρας οἰκονομίᾳ εἴη ἄν.

Ἔνδεια ὕδατος ἐν τῇ Βενεζουέλῃ

Ἐν δὲ τῇ Βενεζουέλῃ τὸ ὕδωρ κεφαλαῖον πρόβλημα γεγένηται· τῆς οἰκονομίας διαφθαρείσης, νῦν τὸ ὕδωρ οὐ πάντοσε ἀφίκεται, δεῖ δὲ τοὺς πολίτας ὕδωρ ἰδίᾳ κτᾶσθαι, αὐτοὺς δὲ τοσαύταις ὑποδοχαῖς χρῆσθαι δεῖ ὥστε πολλάκις ἀνάγκη ἐστὶ αὐτὰς ἐν τῇ οὕτω καλουμένῃ "μελαίνῃ ἀγορᾷ" ὠνεῖσθαι. οἱ ἄρχοντες, τὴν κατάστασιν ἐπανορθοῦν πειρώμενοι, φορτηγὰ ἅρματα πέμπουσιν ὕδωρ φέροντα, τοῦτο δὲ οὐδαμῶς ἱκανόν ἐστιν, ἐκεῖ δὲ τὰ συνήθη οἷα τὸ λούεσθαι καὶ τὸ ὀπτᾶν χαλεπώτατον ἐγένετο τῆς ὕδατος ἐνδείας ἕνεκα. νῦν δὲ κίνδυνός ἐστι μὴ νόσος τις γένηται, οἱ γὰρ πολῖται ἤδη ὕδωρ πίνουσιν ὃ οὐδαμῶς πότιμόν ἐστιν.

Πῶς μόνος ἀεροσκάφει πορεύεσθαι

Νῦν δὲ θαυμαστὸν νέον· πάντες ἴσμεν ὅ τι σημαίνει κατὰ ἀεροσκάφος πορεύεσθαι· πολλοὶ ἄνθρωποι ἐν μικροτάτῳ τόπῳ τεθλιμμένοι ἀναγκάζονται πολλὰς ὥρας συνοικεῖν, ὃ ἐπαχθέστατόν ἐστιν· ὅμως δὲ Λιθουανὸς ἄνθρωπος τοῦτο τὸ δυστύχημα ἀπέφυγεν, μόνος γὰρ ἐπιβάτης ἐγένετο ἐν ἀεροσκάφει οὕτω μεγάλῳ ὄντι ὥστε 188 ἐπιβάτας φέρειν δύναιτο ἄν. ἆρα διὰ τί οὗτος ὁ ἀνὴρ μόνος ἐπορεύθη; ἔδει μὲν ἐκ τῆς πόλεως Βέργαμο (ἐν τῇ Ἰταλίᾳ) μεγάλην ὁμάδα Λιθουανῶν πολιτῶν εἰς τὴν Λιτουανίαν ἀναφέρειν, τῇ δὲ ἑταιρείᾳ Novaturas, ἀεροσκάφος πέμψειν μελλούσῃ, ἔδοξεν εἰσιτήρια πωλεῖν τούτοις οἵτινες βούλοιντο ἐκεῖσε πορεύεσθαι ἄνευ νόστου, οὐδαμῶς γὰρ ἐξῆν τὸν νόστον τῷ αὐτῷ εἰσιτηρίῳ ὠνεῖσθαι. εἷς δὲ ἄνθρωπος τοιοῦτο "μόνον ἐκεῖσε, οὐδαμῶς ἐκεῖθεν" εἰσιτήριον ἐπρίατο, ὃς ἑαυτῷ μόνῳ ἔσχεν δύο τε κυβερνήτας καὶ πέντε θεράποντας.

Βρέξιτ, Ἀσσὰνζ καὶ Malaysia Airlines

12 Ἀπριλίου 2019

Νέος τῷ Βρέξιτ ὅρος

Αὖθις δεῖ περὶ τοῦ Βρέξιτ λέγειν, πῶς γαρ ου; ἡ ἐκ τῆς Εὐρωπαικῆς Ἑνώσεως ἔξοδος τῷ Ἡνωμένῳ Βασιλείῳ νέον ὅρον ἔχει, τὴν 31ην Ὀκτωβρίου, κατὰ γὰρ τὴν Ε.Ε. τοῦτο ἱκανὴν σχολήν τε καὶ ἡσυχίαν τῇ Τερέσσᾳ Μεῖ δώσει ἵνα αὖθις πειρᾷ τοὺς Βρετανικοὺς βουλευτὰς συνθήκας τινὰς δέχεσθαι πείθειν (περὶ γὰρ τοῦ ἐρωτήματος ὃ τέτυχεν αἰώνιον γενόμενον ἔτι καὶ νῦν διαλέγονται· πότερον δεῖ τὸ Η.Β. τὴν Ε.Ε. καταλιπεῖν μετὰ ἢ ἄνευ συνθηκῶν)· ὅμως δὲ τοῦτον τὸν νέον ὅρον οὐδαμῶς προῖκα ἡ Τερέσσα Μεῖ ἐκτήσατο, δεήσει γὰρ νῦν τὸ Η.Β. τῷ μηνὶ Μαίῳ Εὐρωπαικὰς ἀρχαιρεσίας ποιεῖσθαι (τὸ γὰρ Η.Β. ἔτι ἔνδον τῆς Ε.Ε. ἔσται). ἐὰν τὸ Η.Β. τῷ Μαίῳ Εὐρωπαικὰς ἀρχαιρεσίας μὴ ποιῆται, δεήσει αὐτὸ εὐθὺς τὸ Ε.Ε. τῇ 1ῃ Ἰουνίου καταλιπεῖν.

Ὁ Ἰούλιαν Ἀσσάνζ

Βρετανικοὶ φύλακες συνέλαβον νεωστὶ τὸν Ἰούλιαν Ἀσσάγζ, ὃς ἐν τῇ τοῦ Ἐκουαδὸρ πρεσβείᾳ ᾤκει ἐξ οὗ ἐκεῖσε ἀφίκετο γραφὴν φεύγων. ὁ μὲν ἔνδοξος τῆς ἑταιρείας Wikileaks οἰκιστὴς ἔνδον τῆς πρεσβείας ἑπτὰ ἔτη ἔμεινεν ἕως ὁ τοῦ Ἐκουαδὸρ πρεσβευτὴς ἐξουσίαν τοῖς Βρετανικοῖς φύλαξιν ἔδωκεν εἰς τὴν πρεσβείαν εἰσιέναι καὶ αὐτὸν συλλαβεῖν, χθὲς δὲ ἐξῆν διὰ τῆς τηλεοράσεως ἰδεῖν τοὺς φύλακας αὐτὸν ἐκ τῆς πρεσβείας ἐξαιροῦντας. ἡ μὲν Ἀμερικανὴ ἀρχὴ βούλεται αὐτὸν εἰς τὰς ΗΑΠ ἐξορίζεσθαι καὶ ἐκεῖ δικασθῆναι ὡς πολλὰ περὶ τῆς Ἀμερικανῆς ἀρχῆς ἀπόρρητα δημοσίᾳ ἐξενεγκόντα, ἄλλοι δὲ νομίζοντες αὐτὸν μάλιστα τὴν κοινὴν ἐλευθερίαν ὠφελῆσαι τούτῳ τῷ βουλεύματι ἀνθίστανται.

Ἤδη πέντε ἔτη ἄνευ ἀνακρίσεως

Ἤδη πέντε ἔτη ἐξελήλυθεν ἐξ οὗ τὸ τῆς ἑταιρείας Malaysia Airlines ἀεροσκάφος ἐν τῷ Ὠκεανῷ Ἰνδικῷ ἠφανίσθη. τὸ μὲν ἀεροσκάφος MH370 ἀπὸ τοῦ ἀερολιμένος τοῦ τῆς Κουάλα Λουμποῦρ πρὸς τὸ Πεκίνον τῇ 8ῃ Μαρτίου τοῦ 2014ου ἔτους ἀπῆλθεν, τετταράκοντα δὲ λεπτῶν ἐξελθόντων ἐξαίφνης ἠφανίσθη. ἤδη δὲ τῷ προτεραίῳ ἔτει ἡ τῆς Μαλαισίας ἀρχὴ ἐπαύσατο τὰ τοῦ ἀεροσκάφους λείψανα ζητοῦσα, οἱ γὰρ ἔμπειροι πλείονα 232,000 τετραγωνικὰ τοῦ βάθους χιλιόμετρα ἐξετάσαντες οὐδὲν ηὗρον, οὕτω δὲ πότερον τρομοκρατικὴ προσβολὴ ἢ μηχανικὸν δυστύχημα αἴτιον ἦν οὔπω ἴσασιν.

Πυρκαιὰ ἐν τῷ ἱερῷ Notre Dame

17 Ἀπριλίου 2019

Δεινὴ πυρκαιὰ διέφθειρε προχθὲς μέρος τοῦ ἱεροῦ Notre Dame ἐν τῷ Παρίσι. ἡ πυρκαιὰ διὰ τύχην ἐγένετο, λέγεται δὴ ὅτι οὗ ἐργασταί τινες εἰργάζοντο τὸ οἰκοδόμημα ἀκούμενοι (συνεχῶς γὰρ τὸ οἰκοδόμημα ἀκοῦνται ἅτε ἔνδοξον σύμβολον ὂν τῆς γοτθικῆς τέχνης). τοῦ πυρὸς ταχέως διὰ τοῦ ἱεροῦ ἐκτεινομένου, ἔδει πρῶτον ὡς τάχιστα τὰ τεχνήματα σῴζειν, ὧν τὰ μὲν πλεῖστα ταχέως ἐκ τοῦ νεοῦ ἐξηνέχθη, ἄλλα δὲ διεφθάρη, ἐν δὲ τῷ μεταξὺ ἡ πυρκαιὰ οὕτω δεινὴ ἐγένετο ὥστε ἐδέησε τοὺς πυροσβέστας δέκα ὥρας μάχεσθαι ἕως αὐτὴν κατέσβεσαν· μέρος μὲν τοῦ ὀρόφου κατέπεσεν, κατέπεσεν δὲ καὶ ὁ ὑψηλότατος πύργος, ὃς ἔτυχε τοῦ ἱεροῦ σύμβολον ὤν. τῆς πυρκαιᾶς ἤδη κατασβεσθείσης, οἱ πυροσβέσται εἶπον ὅτι εἰ ὀψίτερον ἀφίκοντο κατὰ ἡμισείαν ὥραν πᾶν τὸ οἰκοδόμημα διεφθάρη τε καὶ κατέπεσεν ἄν.

τῆς πυρκαίας ἤδη γενομένης, δεῖ νῦν περὶ τῆς ἀνοικοδομήσεως διαλέγεσθαι, τόδε δὲ ἐστὶ τὸ πρῶτον ἐρώτημα ὃ πάντες ἑαυτοὺς ἐρωτῶσιν, πότερον δεῖ τὸ ἱερὸν παντελῶς κατὰ τὸ αὐτὸ εἶδος ὡς τὸ πρότερον ἀνοικοδομεῖν ἢ δεῖ ἐκ τοῦ δυστυχήματος (καὶ εἰ δεινή ἐστιν) ὠφελεῖσθαι καὶ αὐτὸ κάλλιον ἀνοικοδομεῖν. πολλὰ χρήματα κτᾶσθαι δέον ὅ τι ἂν βουλεύωνται, πολλαί τε ἑταιρεῖαι καὶ ἐπιχειρήσεις καὶ δὴ καὶ πλουσιώτατοι πολῖται χρήματα τῇ Γαλλικῇ ἀρχῇ παρεσχήκασιν εἰς τὴν ἀνοικοδόμησιν.

περὶ δὲ τὸ μῆκος; χθὲς ὁ τῆς χώρας πρόεδρος Ε. Μακρὸν ὑπέσχετο τὸ ἱερὸν πέντε ἐτῶν ἀνοικοδομήσεσθαι (ὅμως δὲ οἱ ἔμπειροι διαβεβαιοῦνται ὅτι δέκα ἔτη ἐργάζεσθαι δεήσει).

τοῦτο τὸ ἱερὸν σύμβολον τῆς Γαλλίας εστίν, δι' ὃ οἱ ταύτης τῆς χώρας πολῖται ἐπὶ τούτῳ τῷ δυστυχήματι οὕτω λελυπημένοι εἰσίν.

Οἱ τῆς Κομόδου δράκοντες

21 Ἀπριλίου 2019

Ἤδη ἴσμεν τοὺς περιηγητὰς μεγάλην χρημάτων πηγὴν τῇ οἰκονομίᾳ πολλῶν χωρῶν ὄντας, ἀλλὰ αὕτη ἡ χρημάτων πηγὴ ἐνίοτε καὶ ἐλασσώματά τινα προσάγει, τὸ δὲ τελευταῖον παράδειγμα ἔξεστιν ἐν τῇ νήσῳ Κομόδῳ (ἐν τῇ Ἰνδονησίᾳ) εὑρεῖν· μύριοι μὲν περιηγηταὶ ἀφικνοῦνται κατὰ μῆνα εἰς ταύτην τὴν νῆσον οὐ μόνον τῶν αἰγιαλῶν ἕνεκα ἀλλὰ καὶ διότι ἐκεῖ οἱ μέγιστοι σαῦροι τῆς οἰκουμένης οἰκοῦσιν, οἱ οὕτω καλούμενοι “δράκοντες τῆς Κομόδου“, κατὰ δὲ τὴν UNESCO πεντακισχίλιοι σαῦροι ἐν τῇ νήσῳ ἐπὶ πάσῃ ἀδείᾳ οἰκοῦσιν.

οἱ περιηγηταὶ οἵτινες ἂν εἰς ταύτην τὴν νῆσον τῷ μηνὶ Δεκεμβρίῳ τούτου τοῦ ἔτους πορεύωνται ἔσονται οἱ τελευταῖοι οἷς ἔξεστιν ἄνω καὶ κάτω δι' αὐτῆς βαδίζειν, τῇ γὰρ τῆς Ἰνδονησίας ἀρχῇ ἔδοξε τοὺς περιηγητὰς ἀπαγορεύειν μὴ εἰς τὴν νῆσον πορεύεσθαι. ἡ δὲ αἰτία; οἱ φύλακες νεωστὶ ἐννέα ἀνθρώπους κατέλαβον τετταράκοντα ἕνα τούτων τῶν σαύρων κλέψαντας καὶ μέλλοντας αὐτοὺς ἐν τῇ “μελαίνῃ ἀγορᾷ“ (κατὰ τὸ εἰκὸς ἐν ἄλλαις χώραις) ἐπὶ 30,000 εὐροῖς πωλήσειν. δέον εἴργειν μὴ τοῦτο τὸ τῶν ζῴων γένος ἀφανίζεσθαι, ἴσως τοῦτο τὸ βούλευμα βέλτιστόν ἐστιν.

ἐνίοτε μὲν τούτοις τοῖς σαύροις χρῶνται ἵνα σπάνια φάρμακα κτῶνται ἃ ἄλλως οὐκ ἔξεστι κτᾶσθαι, ἐνίοτε δὲ πλουσιώτατοι ἄνθρωποι αὐτοὺς ὠνοῦνται οἳ βούλονται ἀλλοδαπόν τι ζῷον ἐν τῷ παραδείσῳ ἔχειν, διὰ δὲ ταῦτα οὐ τὸ πρῶτον κλωπεία τις τούτων τῶν σαύρων ἐγένετο, ἤδη γὰρ τὸ πρότερον τινὰς ἔκλεψαν, ὅμως δὲ οὐδέποτε τοσούτους εἰσάπαξ.

Ἡ Οὐκραίνα καὶ ἡ Ῥωσσία

26 Ἀπριλίου 2019

Τοῦ τῆς Βορείας Κορέας ἄρχοντος καὶ τοῦ Βλαδίμιρ Ποῦτιν ἐν τῇ πόλει Βλαδιβοστὸκ συνελθόντων, ἄγγελμά τι, καίπερ ἄξιον λόγου ὄν, τὰς ἐφημερίδας ἔλαθεν.

ἐνιῶν ἡμερῶν ἐξελθουσῶν ἐξ οὗ ὁ νέος τῆς Οὐκραίνας πρόεδρος ἐξῃρέθη, ὃς τυγχάνει ἄνθρωπός τις ὢν ἐμπειρίαν περὶ τῶν πολιτικῶν οὐδεμίαν ἔχων, ὁ Ποῦτιν νέον νόμον προὔθηκε καθ' ὃν ἔξεσται τοῖς ἐν τῇ τῆς Οὐκραίνας ἑῴᾳ οἰκοῦσι Ῥωσσικὸν διαβατήριον κτᾶσθαι, δῆλον δέ ἐστιν ὅτι τοῦτο ποιεῖ ἵνα τὴν τῆς Ῥωσσίας ῥοπὴν ἐν ταύτῃ τῇ χώρᾳ αὐξάνῃ.

καὶ εἰ οὐδένα λανθάνει ὁ Ποῦτιν ἤδη πάλαι πειρώμενος τὴν Οὐκραίναν αὖθις ὑπὸ Ῥωσσικὸν κράτος ὑποθεῖναι, τοῦτο τὸ ἄγγελμα πᾶσιν ἀπροσδόκητον ἀφίκετο, ὁ δὲ νέος τῆς Οὐκραίνας πρόεδρος, Ζελένσκι ὀνόματι, τὴν Εὐρωπαικὴν Ἕνωσιν αἰτεῖ κολάσεις τῇ Ῥωσσίᾳ ἐπιθεῖναι (ὃ οὐδεμίαν δύναμιν ἔχοι ἄν)· ἡ μὲν τῆς Ε.Ε. τοῖς ἐξωτερικοῖς πράγμασι φερέφωνος Federica Mogherini εἶπε νεωστὶ ὅτι τοῦτο δεικνύοι τὸν Ποῦτιν τὴν Οὐκραίναν ἔτι μᾶλλον ταράττειν βουλόμενον, ἡ δὲ Γαλλία καὶ ἡ Γερμανία καὶ τὸ Ἡνωμένον Βασίλειον ὁμοίους λόγους εἶπον· καὶ δὴ καὶ διαβεβαιοῦνται οἱ ἔμπειροι ὅτι τοῦτο ποιεῖ ὁ Ποῦτιν βουλόμενος οὐ μόνον τὴν τῆς Ῥωσσίας ῥοπὴν ἐν τῇ Οὐκραίνᾳ αὐξάνειν ἀλλὰ καὶ τὸ τοῦ νέου τῆς χώρας προέδρου θάρρος ἐξελέγχειν.

Ἅμιλλα ΗΑΠ - ΗΒ διὰ τὴν Huawei

30 Ἀπριλίου 2019

Αἱ ΗΑΠ καὶ τὸ Ἡνωμένον Βασίλειον ἅμιλλαν ἔχουσι περὶ τῆς τεχνολογίας 5Γ καὶ τῆς ὠφελείας ἧς ἡ Κίνα παρέχειν βούλοιτο ἂν εἰς τὸ τὴν 5Γ οἰκοδομεῖν, τὸ μὲν γὰρ Η.Β. ἐθέλοι ἂν τὴν Σινικὴν ὠφέλειαν δέχεσθαι, αἱ δὲ ΗΑΠ ταύτην τὴν ὠφέλειαν ὡς πορρωτάτω ἰδεῖν βούλοιντο ἂν καὶ πειρῶσι τοὺς συμμάχους πείθειν μὴ δέχεσθαι. ἡ δὲ αἰτία; ὁ ἐμπορικὸς πόλεμος ὃν ἥ τε Κίνα καὶ αἱ ΗΑΠ ἀλλήλοις ἤδη πάλαι προηγόρευσαν.

καθ' ἡμέραν περὶ τούτου τοῦ πολέμου ἐν ταῖς ἐφημερίσιν ἀναγιγνώσκομεν ἐν ᾧ ὁ πρόεδρος Τρᾶμπ καὶ οἱ τῆς Κίνας ἄρχοντες πάντα ἀλλήλοις καλοῦσι πλὴν τοῦ ἐπιθέτου "καλὸν κἀγαθόν", ἀναγιγνώσκομεν δὲ καὶ περί τινος "5Γ" καλουμένου, ἀλλὰ... τί ἐστιν ἡ 5Γ τεχνολογίας;

"5Γ" σημαίνει "Πέμπτης Γενεᾶς τεχνολογίαν", νέαν τεχνολογίαν τὰς μεταδόσεις πολλῷ θᾶττον πορεύεσθαι ποιήσουσαν, εἴτε διὰ τοῦ ἀέρος εἴτε διὰ καλῳδίου. τὸ μὲν τῆς Σινικῆς ἐπιχειρήσεως ὄνομα ἣ ταύτην τὴν τεχνολογίαν παρέχει Huawei ἐστιν, νεωστὶ δὲ τῷ Η.Β. ἔδοξε τῶν τε τῆς Ἀμερικανῆς ἀρχῆς ἀπειλῶν ἀμελεῖν καὶ τὴν τῇ Huawei παρεσχημένην ὠφέλειαν δέχεσθαι, ὃ ταχέως ὑπὸ τῶν ΗΑΠ ἐμέμφθη, κατὰ γὰρ τὴν Ἀμερικανὴν ἀρχὴν ἡ Κίνα ἐν νῷ ἔχει ταύτην τὴν τεχνολογίαν εἰς τὰ Εὐρωπαῖα τῆς ἐπικουρίας συστήματα εἰσθεῖναι, ὃ ἡ Κίνα παντελῶς ἀρνεῖται.

Ὁ Ψυχρὸς Πόλεμος καὶ ἀεροσκάφος ἐν τῷ ποταμῷ

4 Μαίου 2019

Αὖθις “ψυχρὸν πόλεμον“ ἔχομεν, νῦν δὴ ἐν τῇ Βενεζουέλῃ. ὅ τι ἐν ἐκείνῃ τῇ χώρᾳ συμβαίνει ἤδη ἴσμεν· δύο ἄνδρες (ὁ Μαδούρω καὶ ὁ Γουαιδώ) ὧν ἑκάτερος διαβεβαιοῦται ὅτι αὐτὸς ὁ ἀληθὴς πρόεδρός ἐστι περὶ τῆς ἀρχῆς ἅμιλλαν ἔχουσιν, ὡς δὲ τὸ εἰκὸς τῷ μὲν Γουαιδὼ αἱ ΗΑΠ ἐπικουροῦσιν, τῷ δὲ Μαδούρω ἡ Ῥωσσία. τῶν δὲ τῆς Βενεζουέλης ἐσχισμένων πολιτῶν ἐν ταῖς ἀγυιαῖς μαχομένων, τῇ Τετάρτῃ ὁ μὲν τῆς Λευκῆς Οἰκίας φερέφωνος εἶπεν ὅτι δέοι τὴν Ῥωσσίαν ἐκ τῆς χώρας ἀπελθεῖν καὶ τῷ Μαδούρω μηκέτι ἐπικουρεῖν, τὸ δὲ Κρέμλιν ἀπεκρίνατο ὅτι οὐδὲν ἄλλο ποιοίη ἢ τὸν νόμιμον πρόεδρον ὠφελεῖν.

νῦν ἐξαίφνης ἡ Ἱσπανία εἰς ταύτην τὴν ἅμιλλαν ἀπροσδοκήτως τε καὶ ἄκουσα εἰσέπεσεν, ὁ γὰρ Λεοπόλδος Λόπεθ εἰς τὴν τῆς Ἱσπανίας πρεσβείαν ἔφυγεν· οὗτος μὲν ὁ πολιτικὸς ἐν τῷ δεσμωτηρίῳ ἔκειτο ἅτε τῷ Μαδούρῳ ἀνθιστάμενος, ὁ δὲ ἄλλος πρόεδρος Γουαιδὼ ἐκέλευσε τοὺς στρατιώτας αὐτὸν ἐλευθεροῦν· ὁ δὲ Λ.Λ. ἐλευθερωθεὶς εἰς τὴν τῆς Ἱσπανίας πρεσβείαν κατέφυγε πρὶν τοὺς τοῦ Μαδούρω στρατιώτας τοῦτο αἰσθάνεσθαι.

Ἀεροσκάφος τι εἰς τὸν τῆς πόλεως Jacksonville ἀερολιμένα ἐκ τῆς Κούβης ἀφικόμενον τὴν πορείαν ἐν τῷ ποταμῷ ἐτελεύτησεν, μέλλον γὰρ προσγειοῦσθαι ἐκ τῆς ὁδοῦ ἐξέδραμε καὶ εἰς τὸν ποταμὸν Ἅγιον Ἰωάννην καλούμενον κατέπεσεν. ὅμως δὲ οὗτος ὁ ποταμὸς οὐ βαθύς ἐστιν, ὥστε μόνον τὸ ἥμισυ τοῦ ἀεροσκάφους ὑπὸ τοῦ ὕδατος ἔκειτο, δι' ὃ ἐξῆν μὲν πᾶσι τοῖς ἐπιβάταις ἐκ τοῦ ἀεροσκάφους ἐκβῆναι, οὐδεὶς δὲ τραύματα ἔπαθεν.

Αἱ ΗΑΠ τοὺς λειτουργοὺς ἐκ τοῦ Ἰρᾶκ ἐκκαλοῦσιν

16 Μαίου 2019

Ὡς πάντες ἴσμεν, ἐξ οὗ ὁ τελευταῖος Σάχης τῷ 1980ῷ ἔτει ἀπέθανε τὸ Ἰρᾶν καὶ αἱ ΗΑΠ οὐδέποτε φίλτατοι ἐγένοντο, ὡς ἔπος εἰπεῖν. ὅμως δέ, τούτων τῶν χωρῶν συνθήκας τινὰς

ὑπογραψαμένων, αὕτη μὲν ἡ ἅμιλλα (δυναίμεθα ἂν “τάσις“ λέγειν) τοῖς τελευταίοις ἔτεσι ἐμειώθη, ἡ δὲ κατάστασις ἐν ἡσυχίᾳ ἔμενεν, καὶ εἰ ἐν εὐθράστῳ ἡσυχίᾳ, ἀλλὰ αὕτη ἡ ἡσυχία ἤδη τῷ προσθίῳ ἔτει τέλος ἔσχεν, τῇ γὰρ τῶν ΗΑΠ ἀρχῇ ἔδοξε τὰς συνθήκας ἀναιρεῖν τὰς περὶ πυρηνικῆς ἐνεργείας· ἡ δὲ αἰτία; κατὰ μὲν τὴν Ἀμερικανὴν ἀρχὴν τὸ Ἰρᾶν αὖθις τὸ πυρηνικὸν πρόγραμμα ὃ παραλύειν ἔδει προάγει καὶ πειρᾷ κρύφα ἀτομικὰ ὅπλα κτᾶσθαι, ἡ δὲ τοῦ Ἰρᾶν ἀρχὴ τοῦτο ἐξαρνεῖται.

αἱ ΗΑΠ λειτουργοὺς ἐν τῷ Ἰρᾶν αὐτῷ οὐκ ἔχουσιν, ἐν δὲ τῷ πλησιοχώρῳ Ἰρᾶκ οὐκ ὀλίγους, ἡ δὲ τάσις οὕτως ηὔξησεν ὥστε ὁ πρόεδρος Τρᾶμπ χθὲς ἐκέλευσε τοὺς πλείστους τῶν Ἀμερικανῶν λειτουργῶν τὸ Ἰρᾶκ ὡς τάχιστα καταλιπεῖν, φοβεῖται γὰρ μὴ οἱ Ἰρανοὶ αὐτοῖς ἐπιβάλλωσιν· ἡ δὲ Ὁλλανδία καὶ ἡ Γερμανία τὸ αὐτὸ ἐποίησαν καὶ πολλοὺς τῶν ἑαυτῶν λειτουργῶν ἐκ τοῦ Ἰρᾶκ ἐξεκάλεσαν, φοβούμενοι μὴ κακόν τι πάθωσιν.

περὶ δὲ τοῦ τῶν ἀτομικῶν ὅπλων πράγματος, νομίζουσιν οἱ ἔμπειροι οὐ μὲν ἐξεῖναι τῷ Ἰρᾶν τοῦτο νῦν κτᾶσθαι, δεῖν δὲ αὐτοὺς ὅλον ἔτος μένειν πρὶν τοῦτο κτᾶσθαι δύνασθαι.

Ἐνστάσεις πρὸς τῷ Eurovision ἀγῶνι ἐν τῷ Ἰσραῆλ

19 Μαίου 2019

Χθὲς ἐγένετο ὁ ἔνδοξος ἐνιαύσιος μουσικὸς ἀγὼν Eurovision καλούμενος, ἐν ᾧ δεῖ ἑκάστην μετέχουσαν χώραν ᾠδήν τινα ἐπιδεικνύναι.

τούτῳ τῷ ἔτει ὁ ἀγών, ἐν ᾧ ἡ Ὁλλανδία ἐνίκησεν, ἐν τῷ Ἰσραῆλ ἐγένετο, ἐν τῇ πόλει Τὲλ-Ἀβίβ (ὡς γὰρ ἐπὶ τὸ πολὺ οὐκ ἀεὶ ἐν τῇ αὐτῇ χώρᾳ γίγνεται), ἡ δὲ αἵρεσις πολλοῖς τῶν τοῦ Ἰσραῆλ πολιτῶν οὐκ ἤρεσε τῆς αἱρεθείσης ἡμέρας ἕνεκα, τοῦ Σαββάτου, κατὰ γὰρ τὴν Ἰουδαικὴν θεραπείαν δεῖ πᾶσαν ταύτην τὴν ἡμέραν ἡσυχάζειν καὶ μηδαμῶς ἐργάζεσθαι.

οἱ Ἰουδαῖοι ἀπὸ τῆς τοῦ ἡλίου δυσμῆς τῇ Παρασκευῇ μέχρι τῆς τοῦ Σαββάτου σαββατίζουσιν· ὅμως δέ, τοῦ μὲν ἀγῶνος τῷ Σαββάτῳ τῆς ἑσπέρας γενησομένου, δέον δὲ πολλὰ παρασκευάζειν πρὶν τὸν ἥλιον καταδῦναι, πολλοὶ τῶν καλουμένων ὀρθοδόξων τούτῳ ἀνθιστάμενοι τοὺς πολίτας ἐπώτρυναν μὴ τὸν ἀγῶνα θεᾶσθαι μηδὲ συμπράττειν μηδαμῶς ἀλλὰ εἰς τὰς συναγωγὰς ἰέναι ἐν ᾧ ὁ μουσικὸς ἀγὼν ἄρχοιτο καὶ ἐκεῖ μένειν ἕως τέλος ἔχοι.

αἱ πλεῖσται τούτων τῶν ἐνστάσεων οὐκ ἐν τῇ πόλει Τὲλ-Ἀβὶβ ἐγένοντο, ἀλλὰ ἐν τοῖς Ἱεροσολύμοις, ἐν γὰρ ταύτῃ τῇ πόλει ὁ Ἰουδαισμὸς πολλῷ πλείονα ῥοπὴν ἔχει ἢ ἐν τῇ πρωτευούσῃ αὐτῇ.

Ταραχὴ ἐν τῇ Ἰνδονησίᾳ

23 Μαίου 2019

Ἓξ μὲν ἄνθρωποι ἀπέθανον, διακόσιοι δὲ ἐτρώθησαν καὶ διακόσιοι πεντήκοντα ἑπτὰ συνελήφθησαν χθὲς τῆς νυκτὸς ἐν τῇ Ἰακάρτῃ, τῇ τῆς Ἰνδονησίας πρωτευούσῃ. ἡ ταραχὴ τῇ Τρίτῃ ἤρξατο, προχθές.

ἐν τῇ Ἰνδονησίᾳ ἀρχαιρεσίαι ἐγένοντο τῇ 17ῃ τοῦ Ἀπριλίου, ὅμως δὲ τὸ ἀποβὰν προχθὲς ἠγγέλθη, παντὸς μηνὸς ἐξελθόντος, τὸ γὰρ τὰς ψήφους ἀριθμεῖν βραδύτατον ἐγένετο. κατὰ μὲν τὸν τῶν δικαστῶν φερέφωνον τὸ ἀρίθμημα ἐπισκοπούντων, ὁ νῦν πρόεδρος Ἰόκο Οὐιδόδο αὖθις ἐνίκησεν, τὸ δὲ ἄγγελμα οἱ τῷ ἀνθισταμένῳ Σουβιάντο ἐπικουροῦντες χαλεπῶς δεξάμενοι τοῖς φύλαξιν οὕτως ἐπέβαλον ὥστε ἐν τῷ τῆς πρωτευούσης κέντρῳ πᾶσαι αἱ πράξεις (οἰκονομικαί τε καὶ διδακτικαὶ καὶ ἐμπορικαὶ κτλ.) ἐπαύσαντο ἤδη προχθὲς ἐπεὶ πρῶτον ἡ

ταραχὴ ἤρξατο· ἔτι καὶ νῦν πάντα κεκλεισμένα μένει. οἱ ἀνθιστάμενοι τὸν νῦν πρόεδρον αἰτιῶνται τοῦ τὸ τῶν ἀρχαιρεσιῶν ἀποβὰν κρύφα μεταβάλλειν.

κατὰ μὲν τοὺς ἀνθισταμένους, ὁ νῦν πρόεδρος τῇ τῆς Σίνας ἀρχῇ ἐπικουρεῖ καὶ οὐχ ἱκανῶς τὴν Μουσουλμανικὴν θεραπείαν θεραπεύει, κατὰ δε τὸν νῦν πρόεδρον οἱ ἀνθιστάμενοι πάντων καταφρονοῦσιν οἵτινες ἂν μὴ Μουσουλμάνοι ὦσιν.

Ἆρα τίς τῷ Βολσονάρο ἐπέθετο;

28 Μαίου 2019

Ὁ Ἰαὶρ Βολσονάρο πρόεδρος τῆς Βραζιλίας ἐστίν, τοῦτο πάντες ἴσασιν, ἀλλὰ οὖ ἴσως οἱ πλεῖστοι ἤδη ἐπιλελησμένοι εἰσὶ τόδε ἐστίν, ὅτι τὸ πέρυσι τῷ μηνὶ Σεπτεμβρίῳ ἄνθρωπός τις αὐτῷ ἐπέθετο μαχαίρᾳ χρώμενος.

τάδε δὴ τὰ γεγενημένα ἐστίν· ὁ μὲν Βολσονάρο, ἐν ἐκείνῳ τῷ χρόνῳ οὐκέτι πρόεδρος ὢν (αἱ γὰρ ἀρχαιρεσίαι οὐκέτι ἐγεγένηντο), ἔτυχε τοῖς πολίταις ἀγορεύων, ὥσπερ πάντες οἱ εἰς ἀρχὴν παραγγέλλοντες ἐποίουν, ἐξαίφνης δὲ ἄνθρωπός τις τῶν παρόντων, Ἀδέλιος Βίσπω τῷ ὀνόματι, μάχαιραν αὐτῷ εἰς τὴν γαστέρα κατέπηξεν· τὸ δὲ τραῦμα οὕτω κακὸν ἦν ὥστε ἐδέησε τοὺς ἰατροὺς τρὶς χειρουργικῇ τέχνῃ χρῆσθαι ἵνα τὸν τότε μέλλοντα πρόεδρον σῴζοιεν.

χθὲς δέ, ἤδη ὀκτὼ μηνῶν ἐπελθόντων, ὁ δικαστὴς εἶπεν ὅτι κατὰ μὲν τοὺς ἰατροὺς ὁ Βίσπω μαίνεται, τούτων δὲ οὕτως ἐχόντων οὐκ ἔξεστιν αὐτοῦ καταγιγνώσκειν, οἱ γὰρ νόμοι κωλύουσιν ἀνθρώπου μαινομένου καταγιγνώσκειν, ὅ τι ἂν ποιήσῃ, ἔξεστι δὲ αὐτὸν ἐν ψυχιατρικῷ νοσοκομείῳ κατέχειν ἀλλὰ μηδαμῶς εἰς δεσμωτήριον ἐμβάλλειν ἅτε οὐκ αἴτιον ὄντα τῶν ἑαυτοῦ πράξεων.

ἐν τῇ φωτογραφίᾳ δυνάμεθα αὐτὸν ἰδεῖν ὑπὸ τῶν φυλάκων καταλαβόμενον ἐκείνῃ τῇ ἡμέρᾳ τὸ πέρυσιν.

Ἀληθῶς τὸ δίπλωμα βούλει; φύτευσόν μοι δέκα δένδρα!

1 Ἰουνίου 2019

Πορευώμεθα δὴ εἰς τὰς Φιλιππίνας, ἄξιον γάρ ἐστι περὶ τὰ ἐκεῖ νῦν γιγνόμενα αἰσθάνεσθαι.

ὡς ἐπὶ τὸ πολύ, ἐν πάσῃ τῇ οἰκουμένῃ οἱ μαθηταί, τὰ μαθήματα μαθόντες καὶ εὖ ἐν ταῖς δοκιμασίαις πράξαντες, δέχονται ὃ μάλιστα ἐξ οὗ τῶν μαθημάτων ἤρξαντο πεποθήκασιν, τί δὲ τοῦτό ἐστιν; τὸ δίπλωμα! τὸ δίπλωμα ὃ αὐτοὺς ἐάσει ἐν ταύτῃ τῇ θαυμαστῇ οἰκουμένῃ ὡς βελτίστους ἀνθρώπους γίγνεσθαι καὶ νικᾶν καὶ πᾶσι τοῖς παροῦσι δεικνύναι ὅπως σοφοί τε καὶ πάντων τῶν ἐπαίνων (καὶ χρημάτων) ἄξιοί εἰσιν.

ἀλλὰ... νῦν ἐν ταῖς Φιλιππίναις ἴσως οὐχ οὕτω ῥᾴδιόν ἐστι νέον Αἴνσταιν γίγνεσθαι, ἡ γὰρ ἐκείνης τῆς χώρας βουλὴ νεωστὶ νέον τε καὶ θαυμαστὸν νόμον ἐπέθηκε καθ' ὃν δεήσει ἕκαστον τῶν μαθητῶν οἵτινες ἂν τὰ μαθήματα τελευτῶσι δέκα δένδρα φυτεύειν πρὶν ἂν τὸ δίπλωμα δέχηται, καὶ δὴ καὶ τοῦτο ποιεῖν ἀναγκαῖον ἔσται οὐ μόνον τοῖς τὰ ἐν τῷ πανεπιστημίῳ μαθήματα τελευτήσασι ἀλλὰ καὶ τοῖς τὸ ἐν τῷ διδασκαλείῳ.

ἡ δὲ τούτου αἰτία; ἐν πάσῃ τῇ οἰκουμένῃ κατ' ἐνιαυτὸν πλείονα δένδρα ἀφανίζεται, τοῦτο ἤδη ἴσμεν, ἀλλὰ ἐν ἐκείνῃ τῇ χώρᾳ ἀφανίζεται πολλῷ θᾶττον (ῥᾷστόν ἐστι τοῦτο ἐν τῷ Google ἐξετάζειν), ἔδοξε δὲ τοῖς ἄρχουσι τέλος ταύτῃ τῇ καταστάσει ἐπιθεῖναι, κατὰ γὰρ τοὺς ἐμπείρους τούτου τοῦ νόμου ἕνεκα κατ' ἔτος 500,000 νέα δένδρα σχήσομεν.

Ὁ Τρᾶμπ ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ

5 Ἰουνίου 2019

Ὁ τῶν ΗΑΠ πρόεδρος Τρᾶμπ εἰς τὸ Ἡνωμένον Βασίλειον προχθὲς ἀφίκετο, ἐγένετο δὲ ὃ πάντες ᾔσμεν γενησόμενον, ὁπόταν γὰρ πρόεδρός τις τῶν ΗΑΠ πορεύηται, εἰς ἥντινα χώραν ἂν ἀφικνῆται, ἐκεῖσε ἡ ταραχὴ αὐτῷ ἕπεται. ὅμως δὲ ἡ ταραχὴ μείζων ἐστὶ νῦν τοῦ μετρίου τριπλῆς αἰτίας ἕνεκα· πρῶτον μὲν τὸ Η.Β. μέλλει τὴν Εὐρωπαικὴν Ἕνωσιν καταλείψειν (ὁ δὲ Τρᾶμπ τῷ οὕτω καλουμένῳ "Βρέξιτ" ἐπικουρεῖ), δεύτερον δὲ δεῖ νῦν (αὔριον, ὡς ἀκριβῶς λέγειν) τῆς εἰς τὴν Νορμανδίαν ἐκβάσεως μιμνήσκεσθαι, ἐν ᾗ τοσοῦτοι Βρετανικοί τε καὶ Ἀμερικανοὶ καὶ Καναδικοὶ στρατιῶται ἀπέθανον, ἤδη γὰρ τὸ ἑβδομηκοστὸν πέμπτον ἔτος ἡ ἔκβασις γεγένηται, τρίτον δὲ δέον νῦν νέον τοῦ Η.Β. πρωθυπουργὸν ἑλέσθαι πολλοὶ πολῖται νομίζουσι τὸν Τρᾶμπ πολυπραγμονεῖν ἐνίοις τῶν εἰς ἀρχὴν παραγγελλόντων ἐπικουροῦντα.

πολλοὶ οὖν Βρετανικοὶ πολῖται ἐν τῷ τοῦ Λονδίνου κέντρῳ τῷ Τρᾶμπ ὀργισθέντες ἔδειξαν τὴν ἑαυτῶν πρὸς αὐτὸν ἀηδίαν, ἄλλοι μὲν βουλόμενοι τὸ Η.Β. ἐν τῇ Ε.Ε. μένειν (ὁ Τρᾶμπ τῷ ἐναντίῳ ἐπικουρεῖ), ἄλλοι δὲ αὐτὸν ψέγοντες διότι τὴν Σινικὴν ἑταιρείαν Huawei οὐκ ἐᾷ εἰς τὴν Ἀμερικανὴν ἀγορὰν εἰσιέναι, ἄλλοι δὲ ἄλλης τινὸς αἰτίας ἕνεκα· ὅμως δὲ οὐ πάντες οἱ διαδηλωταὶ αὐτῷ ἀντέστησαν, εἰσὶν γὰρ καὶ οἵτινες τὴν πολιτικὴν αὐτοῦ ἐπαινοῦντες τιμῶσι καὶ ἥδονται αὐτῷ παρόντι.

Θαυμαστὴ ἐξομολόγησις

9 Ἰουνίου 2019

Περὶ τῶν ναρκωτικῶν τί ἔξεστι λέγειν ὅ τι οὐκέτι ἐρρήθη; πολλοὶ μὲν νεανίαι αὐτοῖς χρῶνται καίπερ εἰδότες κακόν τι εἶναι, πολλαὶ δὲ παρανομίαι ἐκ τῆς ἐμπορίας καὶ τῆς καπηλείας αὐτῶν γίγνονται, κτλ., δυναίμεθα ἂν πᾶσαν τὴν ἡμέραν διαμένειν περὶ τούτου παθημάτων κατάλογον γράφοντες· βέλτιόν τε καὶ χρησιμώτερόν ἐστι περὶ τοῦδε διαλέγεσθαι, ὅστις τὴν Τερέσσα Μεῖ διαδέξεται καὶ νέος πρωθυπουργὸς γενήσεται, τῆς γὰρ Τ. μεῖ προχθὲς τῆς ἀρχῆς ἐκστάσης δεήσει νῦν τοὺς τοῦ Ἡνωμένου Βασιλείου πολίτας νέον πρωθυπουργὸν ἑλέσθαι ὅστις ἂν αὐτοῖς διὰ τῆς ἀρετῆς ἡγῆται.

ἆ, ἴσως ἐξείη ἂν περὶ ναρκωτικῶν τε καὶ τῶν δυνατῶν τῆς Τ. Μεῖ διαδόχων ἅμα διαλέγεσθαι. ἆρα πῶς τοῦτο ἐξείη ἂν ἅμα ποιεῖν; ἡ ἀπόκρισις ῥᾴστη ἐστίν, αὐτοὶ δὴ οἱ εἰς ἀρχὴν παραγγέλλοντες τοῦτο δυνατὸν ἐποίησαν, νεωστὶ γὰρ ὡμολόγησαν ναρκωτικοῖς χρήσασθαι. οὐδαμῶς, μὴ φρόντιζε περὶ τοῦ ἀναγνώσματος, ἔγραψα γὰρ “χρήσασθαι,“ τῷ ἀορίστῳ χρόνῳ, οὐκ ἔγραψα “χρῆσθαι“ τῷ ἐνεστῶτι χρόνῳ, μὴ νομίζωμεν αὐτοὺς νῦν καθ' ἡμέραν ναρκωτικοῖς χρῆσθαι πρὶν εἰς τὴν βουλὴν εἰσιέναι, εἶπον γὰρ ὅτι τοῦτο ποιήσαιεν νεανίαι ὄντες, πάντες δὲ ἴσμεν ὅτι οἱ νεανίαι ποιοῦσιν ὃ δεῖ καὶ ὃ οὐ δεῖ ποιεῖν. ὁ Boris Johnson καὶ ὁ Michael Gove (ἐν τῇ φωτογραφίᾳ) καὶ ὁ Jeremy Hunt καὶ ὁ Dominic Raab καὶ ὁ Rory Stewart... πάντες τοῦτο ὡμολόγησαν.

ἀλλὰ οὐ δεῖ ἡμᾶς φροντίζειν, διεβεβαιώσαντο γὰρ καρτερῶς ὅτι τοῦ τοῦτο ποιῆσαι μάλιστα ἑαυτοῖς μεταμέλοι· δυνάμεθα οὖν ἥσυχοι καθεύδειν, ἐν γὰρ ἀγαθοῖς γόνασι κείμεθα.

Ἐπανάστασις ἐν τῷ Χὸγκ Κόγκ

13 Ἰουνίου 2019

Ἤδη ἔχομεν ἐν τῇ πόλει Χὸγκ Κὸγκ τὴν δευτέραν τῶν σκιαδείων ἐπανάστασιν. τὴν δὲ ταύτης τῆς πόλεως ἱστορίαν πάντες γιγνώσκομεν· Βρεταννικὴ μὲν ἀποικία πολλὰς δεκάδας γενομένη καὶ δημοκρατικῇ πολιτείᾳ χρησαμένη τῇ Βρεταννικῇ ὁμοίᾳ, ἡ πόλις τῷ 1997ῳ ἔτει αὖθις τῇ Σίνᾳ ἀπεδόθη, ὃ τοῖς τοῦ Χ.Κ. πολίταις οὐδαμῶς ἤρεσεν, ἐφοβοῦντο γὰρ μὴ ἡ Σίνα τέλος τῇ πολιτικῇ ἐλευθερίᾳ ἐπιθείη, τῷ δὲ 2014ῳ ἔτει τῶν τῆς Σίνας ἀρχόντων νόμους τινὰς περὶ τοῦ τῶν ἀρχαιρεσιῶν συστήματος ἐπιθεῖναι πειρωμένων ἡ πρώτη οὕτω καλουμένη "τῶν σκιαδείων ἐπανάστασις" ἐγένετο· νῦν δὲ ἡ μὲν Σίνα ἄλλον νόμον τῷ Χ.Κ. εἰσθεῖναι βούλεται, καθ' ὃν ἀναγκαῖον ἔσται τῷ Χ.Κ. εἰς τὴν Σίναν πέμψαι οὕστινας ἂν πολίτας ἡ Σίνα κελεύῃ, οἱ δὲ τοῦ Χ.Κ. πολῖται φοβοῦνται μὴ ἡ Σίνα τούτῳ τῷ νόμῳ χρωμένη πειρᾷ οὐ μόνον ἀδικοῦντας κολάζειν οἵτινες ἂν εἰς τὸ Χ.Κ. φεύγωσιν ἀλλὰ καὶ ὃ οὐδένα λανθάνει, τοὺς δὴ τῇ τῆς Σίνας ἀρχῇ ἀνθισταμένους διώκειν.

καίπερ τῆς Σίνας τὸ πρῶτον ὑπισχομένης τὸ "μία χώρα, δύο συστήματα" φυλάξειν, οἱ τοῦ Χ.Κ. πολῖται φοβούμενοι μὴ ἡ πολιτικὴ ἐλευθερία βραδέως ἀφανίζηται αὖθις τὸ τῆς πόλεως κέντρον καταλαβόντες ἐκεῖ μένουσιν. ἡ μὲν ἀρχὴ ἤγγειλε τήμερον ὅτι τὸν νόμον ὃν ἀναγκαῖον ἦν τήμερον ψηφίζεσθαι εἴς γε τὴν ἐπιγιγνομένην ἑβδομάδα ἀναβάλλοιεν, αὕτη δὲ ἀναβολὴ μικρὰ νίκη τοῖς ἀνθισταμένοις ἐστίν.

Ὁ Μοῦρσι ἐν τῷ δικαστηρίῳ ἀποθνῄσκει

17 Ἰουνίου 2019

Ὁ πρότερος τῆς Αἰγύπτου πρόεδρος Μοῦρσι ἐξαίφνης ἐν τῷ δικαστηρίῳ τήμερον ἀπέθανεν. κατὰ τὸν τοῦ δικαστηρίου φερέφωνον, ὁ μὲν Μοῦρσι, τοῖς δικασταῖς ἀποκρινάμενος, ἐξαίφνης χαμᾶζε κατέπεσεν οὐδενὸς ὠθοῦντος, ἐπεὶ δὲ οἱ ἐκεῖ παρόντες προσέβησαν ὡς αὐτὸν ὠφελήσοντες ᾔσθοντο ἤδη ἀποθανόντα· περὶ δὲ τῆς αἰτίας οὔπω τι εἶπον οἱ ἄρχοντες.

ὁ Μοῦρσι, ἑξήκοντα καὶ ἑπτὰ ἔτη γεγονώς, ἐν μὲν τῷ δεσμωτηρίῳ ἔκειτο ἐξ οὗ τὸ στράτευμα αὐτὸν ἐκ τῆς ἀρχῆς τῷ Ἰουλίῳ τοῦ 2013ου ἔτους ἐξέβαλεν, πολλάκις δὲ ἐξ ἐκείνου τοῦ χρόνου ἐν τῷ δικαστηρίῳ δίκας παντοδαπὰς ἔφευγεν, τῷ δὲ 2015ῳ ἔτει πρῶτον μὲν θάνατον κατεγνώθη, καὶ εἰ ἔπειτα αὕτη ἡ καταδίκη μετεβλήθη (ὅμως δὲ οὐκ ἀφεῖσαν), νῦν δὲ αὖθις ἔδει αὐτὸν γραφήν τινα κατασκοπῆς φεύγειν. ὁ τοῦ Μοῦρσι συνήγορος εἶπεν ὅτι ἡ ὑγίεια αὐτοῦ κατ' ἐνιαυτὸν χείρων γίγνοιτο ταῦτα τὰ ἓξ ἔτη ἃ ἐν τῷ δεσμωτηρίῳ ἔκειτο.

οἱ Μουσουλμάνοι Ἀδελφοί, ὧν ὁ Μοῦρσι ἕταιρος ἦν, τὰ νέα ἀκούσαντες, ταχέως εἶπον ὅτι τοῦτο δολοφονία εἴη, ἐξεκάλεσαν δὲ πάντας τοὺς τῆς Αἰγύπτου πολίτας ὡς πλείστους τοῖς ἐνταφίοις παρεῖναι.

ὁ Μοῦρσι, ἐν ταῖς ἀρχαιρεσίαις τῷ 2012ῳ ἔτει νικήσας, πρῶτος μὲν πρόεδρος δημοκρατικῶς ἑλόμενος ἐγένετο, τῷ δὲ Ὅσνι Μουβᾶρακ διεδέξατο, ἀλλὰ μόνον ἔτος ἓν ἐν τῇ ἀρχῇ ἔμεινεν, τοῦ γὰρ νῦν προέδρου Ἅλ Σισὶ τῷ στρατεύματι χρωμένου αὐτὸς βίᾳ ἐκ τῆς ἀρχῆς ἐξεβλήθη.

Ἔρρωσο, ὦ χρόνε!

21 Ἰουνίου 2019

Ἆ, ὁ χρόνος! ὁ νέος θεὸς ὃς τῶν ἡμετέρων βίων ἄρχει καὶ κελεύει ὁπότε δεῖ ἡμᾶς ἐκ τῆς κλίνης ἐξανίστασθαι καὶ ἐσθίειν καὶ πρὸς τὸ ἐργαστήριον ἰέναι καὶ αὖθις οἴκαδε ἐπανελθεῖν καὶ κατακλίνεσθαι... ἀληθῶς δὲ καίπερ ἱερὰ οὐκ ἔχων οὗτος ὁ θεός ὑπὸ πάντων τῶν ἀνθρώπων τιμᾶται. ὑπὸ πάντων δή; ὡς τἀληθῆ εἰπεῖν, ἴσως οὐχ ὑπὸ πάντων, νεωστὶ γὰρ ἔδοξε μικρᾷ τῆς Νορβηγίας νήσῳ ἀπὸ τοῦ χρόνου ἀφίστασθαι καὶ ἐκ τῆς νήσου ἐκβαλεῖν οὕτως ὡς οἱ Ῥωμαῖοι τὸν βασιλέα Ταρχίνιον ἐξέβαλον.

τὸ τῆς νήσου ὄνομα Σόμμαρ ἐστίν, τριακόσιοι δὲ νησιῶται ἐνοικοῦσι καὶ ἄλλο μὲν τοῦ ἔτους μέρος ὑπὸ σκότου οἰκοῦσιν, ἄλλο δὲ πρὸς φῶς. τί δὴ οἱ νησιῶται πεποιήκασιν; τοῖς πλείστοις εἰς βουλὴν ἐλθοῦσιν ἔδοξε μηκέτι τὴν δίαιταν κατὰ τὸν χρόνον διάγειν ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν τὴν τοῦ ποιεῖν ὅ τι ἂν δέῃ ποιεῖν ὁπόταν ἂν βούλωνται, ἔδοξεν οὖν τὰς ὥρας ἐξορίζειν καὶ ἄνευ ὡρολογίων βιοῦν.

ὅμως δὲ οὐ πᾶσιν αὕτη ἡ ἐπίνοια ἤρεσεν, παραδείγματος ἕνεκα ὁ ἄθνρωπος ὃς ἐν τῷ μόνῳ ἐν τῇ νήσῳ πανδοκείῳ εἶπεν ὅτι νῦν χαλεπὸν μὲν ἔσοιτο τοῖς περιηγηταῖς λέγειν ὁπότε μὲν δεῖ αὐτοὺς εἰς τὸ πανδοκεῖον ἀφίκεσθαι, ὁπότε δὲ τὸ πανδοκεῖον ἀπολιπεῖν, χαλεπώτερον δὲ εἰδέναι ὁπότε τὸ ἑστιατόριον εἴτε ἀνεῳγμένον εἴτε κεκλεισμένον ἐστίν καὶ ὁπότε ἡ τελευταία εἰς τὴν ἤπειρον ναῦς ἀποπλεύσεται (ἀλλὰ ἴσως τοῦτο τῷ πανδοκείῳ ἀγαθὸν ἔσται ἐὰν δέῃ τοὺς περιηγητὰς εἰς τὴν ναῦν μὴ εἰσβάντας ἐν τῇ νήσῳ ἀπροσδοκήτως μένειν, δεήσει γάρ που καθεύδειν...).